Altro punto d'interesse della *melete* è nel fatto ch'essa può, entro certi limiti, valere come documento di costume. Questo può sembrar strano, trattandosi di un prodotto artificioso di scuola, ma già da tempo lo studio della produzione declamatoria, ad esempio, di Seneca padre o del Ps. - Quintiliano, ha mostrato come prodotti della scuola possano servire alla cognizione storicistica [3]. Lo stesso va detto, e corre in ogni caso l'obbligo che se ne tenti la prova, per i testi della retorica bizantina, anche scolastica [4]. Il caso presente può essere ben indicativo.

La controversia prende le mosse da un reato di empietà commesso contro le sacre icone nel giorno della gran festa per l'Ortodossia, in vigore nella chiesa greca a partire dall'843. Le icone sono state contaminate da tal Ieroteo, il quale accusa del misfatto, sostenuto da Bagoas, tal Cosma. In séguito si scopre il dolo, Ieroteo è incriminato e imprigionato, Bagoas riesce a liberarlo:

---

1. La stessa ha apportato anche correzioni varie, per lo più sopra la linea. Ma correzioni ha anche una mano diversa e più recente che però non è sempre agevole distinguere. Io ho usato una riproduzione fotografica del codice, ma ho anche eseguito controlli *de visu* a Vienna nell'estate del 1968.

2. Cfr., p.es., p. 149,5 ss. Ma tratteremo della questione complessiva in altra sede.

3. Cfr. H. Bornecque, Déclamations et déclamateurs d'après Sénèque le Père, Lille 1902.

4. In generale questa esigenza è stata da me già rilevata in Niceforo Basilace. Encomio per Adriano Comneno, Napoli 1965, p. 12, n. 10.

viene così accusato di complicità, e nella *melete* si sostiene appunto tale accusa, sia pure su base indiziaria, giacché testimoni oculari mancano. È appena il caso di ricordare lo spunto classico che è stato presente al Basilace: il famoso processo ateniese per il sacrilegio degli ermocopidi commesso alla vigilia della spedizione in Sicilia, nella seconda fase della guerra del Peloponneso [1]. Ma l'impostazione ambientale della vicenda, lo sfondo sul quale i personaggi agiscono, certa asprezza, soprattutto, nel denunciarne colpe e vizi, hanno chiaro aggancio con la realtà contemporanea e con l'esperienza personale dell'autore. Si legga, per convincersene, il paragrafo 15, con la vivace descrizione della vita privata dell'imputato: uomo falso, tartufesco, intrigante; ma a un certo punto anche altri è coinvolto: *ἐθάμιζε καὶ περὶ τὰ σκηνεῖα, καὶ τοῖς τῶν μοναχῶν ἐπισημοτέροις τὴν φήμην ἢ τὴν ἀρετὴν θαμὰ ἐπεμίγνυτο*. Ecco uno sguardo sugl'intrighi della capitale. C'è poi la figura di Cosma, un ecclesiastico a un certo momento espulso, non si dice il perché, dalla chiesa (§ 3): c'è chi continua a infierire contro di lui dopo la caduta, c'è chi lo commisera e gli mostra comprensione: *ὑμεῖς δὲ ὁ τῆς ἐκκλησίας κατάλογος πῇ μὲν ἐκροτεῖτε τὸ τρόπαιον πῇ δὲ καὶ τὸν πεσόντα ᾠκτείρετε* (§ 4). Ieroteo più di tutti, pur uomo di chiesa, infieriva: *ἐπαιάνιζεν ἐπὶ τῷ πεσόντι*. In Cosma non è ardito supporre che il Basilace abbia inteso raffigurare sé stesso e la propria vicenda nella chiesa c.politana: prima onorato διδάσκαλος τοῦ ἀποστόλου poi coinvolto nella disputa teologica del 1156 - 57 poi scomunicato, bandito, esiliato [2]. Nello spietato Ieroteo, nel più spietato Bagoas, è l'ombra dei suoi nemici, forse, più di tutti, di quel diacono Basilio del quale abbiamo notizia in Giovanni Cinnamo, come uno dei più aspri oppositori del Basilace [3].

Questo nuovo scritto basilaciano si presta dunque a una lettura variamente approfondibile, purché lo si collochi in una prospettiva d'insieme, nella quale entrino e la vicenda personale dell'autore e uomini e cose del tempo suo. Emerge, di tra i sentieri coperti della *declamatio*, come altra volta,

---

1. Dal mondo antico viene anche, ma è particolare secondario, l'aver attribuito all'accusato la qualità di eunuco e il nome di Bagoas: Bagoas è infatti un eunuco di Alessandro (cfr. appar. *ad hypoth.*).

2. Cfr. A. Garzya, «Un'epistola inedita di Niceforo Basilace», in Boll. Comit. Ed. naz. Cl. gr. e lat. VII (1959), pp. 59 - 64.

3. Cfr. «Un'epistola» cit. p. 61; v. anche nel *Prologo* gli accenni scoperti ai suoi avversari o rivali, 152, 19 ss.: *πολύς μοι ὁ τοῦ φθόνου δαίμων ἐπέχραε καὶ πάντα ἦν πολεμῶν*... Che il Basilace usasse colpire per allusione afferma egli stesso: *prol.* 153,2 s. *εἰς ἦθος ὁ λόγος ἐνεῖτο, καὶ κακίαν ἐκόλαζεν ὁποῖα πολλὰ τῆς Γραφῆς. καὶ ἦν ἐκεῖνος* [int. un suo avversario, *ὁ τῆς ἐκκλησίας πολιτάρχης* 153,22] *πάλιν καχύποπτος, εἰς ἑαυτὸν ἕλκων ὡς αἱ σικύαι τὰ χείριστα*.

dal *Prologo* o dalle lettere, l'*animus* ferito di un uomo dalla vita tormentata, dal carattere certamente scontroso, forse restio all'ortodossia totale in materia religiosa, compiaciuto della propria fierezza: certo un uomo vero in una Bisanzio non più tanto lontana.

SIGLA

W	= cod. Vind. phil. gr. 321, saec. $XIII^{ex}$
W^{l}	= W in linea
W^{sl}	= W supra lineam
W^{t}	= W in textu
W^{m}	= W in margine
W^{ac}	= W ante correctionem
W^{pc}	= W post correctionem
W^{c}	= W ex correctione
$W^{a\ ras}$	= W ante rasuram
$W^{p\ ras}$	= W post rasuram
a.m.	= alia manu
*	= litera seu erasa seu deperdita

⟨Ὑ π ό θ ε σ ι ς⟩

f. 296 *Ἐπέχρισε μέλιτι τὰς τῶν ἁγίων εἰκόνας Ἱερόθεός τις καὶ κατηγόρησε τοῦ κῦρ Κοσμᾶ ὡς κοπρίᾳ ἐπιμιάναντος· ξυγκατηγόρησε καὶ ὁ Βαγώας· εἶτα ἑάλω αὐτὸς ὢν ὁ μιάνας ὁ καὶ κατηγορήσας, ἐνεβλήθη καὶ εἰς εἱρκτήν, ἀπελύθη παρὰ τοῦ Βαγώα· καὶ κρίνεται συνειδότος ὁ Βαγώας.*

Τὸ ζήτημα στοχασμός. προεμπίπτει δὲ ὅρος. μελετῶμαι τὸν κατήγορον.

Π ρ ο θ ε ω ρ ί α.

1. Τὸ τὰς πολιτικὰς πλάττειν τῶν ὑποθέσεων οὐ τοῦ τυχόντος **οὐδ' οἷον** *ἐξ ἐπιδρομῆς εὑρεθῆναι. τὸ μὲν γὰρ προευρημέναις κεχρῆσθαι, εἰ καὶ μὴ ῥᾷον εἰς τέχνην ξυλλαβεῖν, ἱκανῶς τοῖς πρὸ ἡμῶν ἐπικεχείρηται· κἀκεῖθεν ἔξεστιν ἀπαρύεσθαι τῆς ἐπιστήμης, εἰ μή πού τις μαλθακίζοιτο πέρα τοῦ δέοντος, ὡς καὶ τὴν μεμασημένην τροφὴν μάζαν ἡγεῖσθαι· τὸ δ' αὐτὸν εὑρεῖν καὶ διαρθρῶσαι μόνης τῆς τοῦ Διονυσίου τελεωτάτης ἕξεως. μόνῳ γὰρ ἐκείνῳ τῶν ἁπάντων καὶ τοῦτο Θεὸς ἐχαρίσατο, ἐξ οὐκ ὄντων ὄντα πλάττεσθαι. τούτῳ γοῦν καὶ ἡμεῖς ὡς ἐφικτὸν παρακολουθήσαντες, τὸ παρὸν ζήτημα ἐπλεξάμεθα.*

2. Ἔστι δὲ συμπλοκὴ στάσεων, καὶ τὸ μὲν τῆς στάσεως καιριώτατόν τε καὶ σκοπιμώτατον κατὰ στοχασμὸν ἐξ εἰκότων ἐγείρεται, τὸ δ' εἰς τοῦτο ξυντεῖνον εἰς τὴν ἰδιότητα ὡρικῶς ἀφορᾷ· ὃ καὶ προηγήσεται κατὰ λόγον. δεῖ γὰρ προκαταστῆσαι ὅ τι ἂν καλοῖτο τὸ ἔγκλημα καὶ οὕτω τὰ εἰκότα ἐποικοδομεῖν, ἀφ' ὧν ὁ φεύγων εἰς τὸ προδιορισθὲν ἐμπεσεῖται· τὸ μὲν προὔργου τῷ λόγῳ ξυνειδότος γράψασθαι, τὸ δ' ἐπὶ θύραις καὶ προαποδεικνύμενον, εἰ καὶ πάρεργον, ὡς δυσσέβεια, τὸ ἐφ' ᾧ ξυνειδέναι τὸν φεύγοντα διαγωνιεῖται. τοῦτο τὸ εἶδος οἶδε καὶ ὁ θαυμάσιος Ἑρμογένης, ἐν οἷς καὶ περὶ σ υ ν ε ζ ε υ γ μ έ ν ω ν σ τ ο χ α σ μ ῶ ν ἐδίδαξεν· ἀλλ' ὁ δαιμόνιος τὴν Τέχνην Διονύσιος ἐ π ι π λ ο κ ὴ ν μὲν σ τ ά σ ε ω ν τὰ τοιαῦτα ὀνομάζει, προεξεῦρε δ' ὅτι καὶ ἀνόμοιον ἀνομίῳ συζεύγνυται.

3. Ἐπεὶ δ' ὁ περιδέξιος ῥήτωρ οὐκ ἐν τῷ διώκειν ἁπλῶς γνωρίζεται, ἀλλὰ καὶ τῷ θεραπεύειν τὰ ἐμφαινόμενα καὶ φυλάττεσθαι τὰ ὑφορμοῦντα

H y p o t h. Bagoas Alexandrinus eunuchus Ath. XIII 603 b.

6 Dionysius Halicarnassensis 7 cf. Hermog. inv. III 11 = p. 158ss. Rabe 16s. Hermog. stat. 3 = p. 56,21ss. Rabe 18 cf. Syrian. in Hermog. 29

C o d. Vind. phil. gr. 321, saec. $XIII^{ex}$ = W

Inscr. inserui

4 *ἀπαρρύεσθαι* W

— ὥσπερ καὶ στρατηγὸς εὐμήχανος οὐκ ἐν τῷ δρᾶσαι τί τοὺς ἐχθρούς, ἀλλὰ καὶ τῷ τοὺς λόγους προιδεῖν καὶ φυλάξασθαι — φυλαξόμεθα καὶ ἡμεῖς τὸ τοῦ προκατεψηφισμένου χάριν δοκεῖν ἀμύνασθαι τὸν φεύγοντα. οὐ μέντοι προσεπεμβήσομαι τῷ ἀνδρὶ — μάταιον γάρ, καὶ ἄλλως αἰδοῦμαι τὸν Φίλιον — ἀλλ' ἀποχαριοῦμαι τοσοῦτον ὡς καὶ τὸν φίλον ἀφοσιώσασθαι, μηδέν τι τῶν ἐπαχθεστέρων ὀνομάτων παραμιγνύς, καὶ τὸ ἐποιδοῦν καὶ φλεγμαῖνον ἔτι τῶν δικαστῶν ἐξημερῶσαι, κηδεμόνας αὐτοὺς τῆς εὐσεβείας ἀποκαλῶν, καὶ τὸν ἀγῶνα τοῦτον ὑπὲρ τῶν μαρτύρων ἐνστήσασθαι λόγων. εἰ δέ τις ἀκριβέστερον προσχοίη πολὺ τὸ πάθος ἐπὶ τῷ κατεψηφισμένῳ, γνωριεῖ καὶ ξυνηγορίαν ἄντικρυς καὶ τῆς ἐπ' αὐτῷ ψήφου διαβολῆς.

4. 'Αλλὰ ταῦτα πάντα οὐκ ἀμεθόδως, ἐν οἷς ὁ λόγος πρὸς τὸν ἀλιτήριον στρέφεται, τὰ κεφάλαια ἐπιτηροῦσιν. ἡ προσήκουσα τάξις τετήρηται ἄνευ τῶν ἐλέγχων. μαρτύρων γὰρ ἀποροῦντες, εἰκότως μετὰ 'τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους' τοῦτο ἐτάξαμεν, τοῖς σημείοις ἀντὶ μαρτύρων χρησάμενοι, ὡς καὶ καθ' ὅλον ἡμῖν τὸν λόγον προβῆναι καὶ μὴ διεσπᾶσθαι μηδὲ δόξαι κατηγορεῖν ἀμάρτυρα.

Ἡ μελέτη.

Βαγώας δημοκόπος ἢ ψευδόχριστος.

1. Ἄνδρες ἱεροὶ καὶ τῆς εὐσεβείας κηδεμόνες, οὐ τοῖς προεγνωσμένοις ἐναντιωσόμενος ἥκω νῦν οὐδ' ὑπερηγορήσων ἀνδρός, ὃν ὑμεῖς ἐκποδὼν εἶναι
296v δεῖν ἐψηφίσασθε, ἀλλ' ἕτερον | καὶ τοῦτον ἱερὸν ἀγῶνα δραμούμενος, ἵνα μήτε τὸ θεῖον ἔτι περιυβρίζοιτο μηθ' ἡμῶν καταγελᾶν ἐπιχειροῖεν οἱ πάντα τολμῶντες οὗτοι καὶ δεινοὶ τὴν ἀσέβειαν. οἷς γὰρ τὸ λαθεῖν αὐτοὶ παρανομοῦντες κερδαίνουσιν, ἐξ ὧν ἑτέρους γράφονται, τούτοις ἁπάντων ἀνδρῶν ἂν εἶεν οἱ πανουργότατοι. νῦν μὲν οὖν ἐξ ἡμισείας ἡμῖν ὁ ἆθλος τετέλεσται καὶ τὸ καλὸν οὐκ ἀκέραιον. εἰ δὲ καὶ ⟨τοὺς⟩ τὰ μείζω καὶ λάθρα σκευωρουμένους διαγράψοιτε μετὰ τοῦ τῆς ἐκκλησίας κύκλου, εἰς τὸ προὖπτον δὲ τὰς εὐθύνας αὐτοῖς ἐπιθείητε, τελεώτατος μὲν ὁ ἀγὼν ἔσται, παντέλειον δὲ καὶ ἡμῖν τὸ ἆθλον προσέσται.

2. Δεῖ γὰρ ὑμᾶς, οἷς εὐσεβείας μέλει καὶ Θεὸς χαίρει τιμωρουμένοις ἀσέβειαν, μὴ παρὰ μέρος τὰς τοῦ πνεύματος αὔλακας ἐκκαθαίρειν μηδὲ βάτους μὲν ὡς ὑψικόμους καὶ προδήλως περικνιζούσας ὑπὸ νόμοις καὶ κανόσι

29 Dem. 18,4 34s. Hermog. inv. III 10 = p. 154ss. Rabe.

22 inter οὐκ et ἐν fort. ἁπλῶς inser. (cf. 20)
2 ἡμεῖς W 4 ἐ**χειροῖεν W 8 inserui

κατεμπιμπράναι, τριβόλων δ', ὅτι μὴ πολύ τι τῆς γῆς ἐξανίσχουσι, φείδεσθαι. τὸ γὰρ ὡς κακοῖς λανθάνον καὶ μάλιστα φυλακτέον, ὅσῳ καὶ τοῦ προορωμένου μᾶλλον εἰς λύμην ἄφυκτον. [...] ἄν τις βάτους ἢ τριβόλους φυλάξαιτο, θᾶττον ἄν τις ὄφιν συρίττοντα καὶ ταῖς σπύραις ὑποκυμαίνοντα προιδὼν ἐκ μακροῦ διαδράσειεν, ἢ σκορπίον βραχύ τι κέντρον ἀνατεινάμενον καὶ μικρὸν ὑφέρποντα. καὶ τὸ τῶν καταράτων τούτων, ὁ μὲν ἐξελήλεγκται καὶ διέγνωσται καὶ πρὸς βραχὺ τὴν δορὰν προτεινάμενος ἑάλω λύκος ἐπ' αὐτοφώρῳ, ἐν πιστοῖς ἄπιστος ἐν ὁσίοις ἐξάγιστος· ὁ δέ τι τὸν δόλον ἀμπίσχεται καὶ τὸ κακὸν ἐπηλυγάζεται καὶ θαρρεῖ τοὺς ἐλέγχους, καὶ οὔτ' αὐτὸς τὸ παράπαν ὑπὸ δίκην εἶναι νομίζει καὶ τὸν ἤδη μόνης χειρὸς δημίου δυσόμενον ὑφαρπάζειν πειρᾶται, καὶ ἡμῖν τὴν τοῦ πεπονθότος ἑταιρίαν ἐπεγκαλεῖ καὶ δι' ἐκεῖνον ἐπ' αὐτοὺς ταῦτα ξυνθεῖναι μαρτύρεται.

3. 'Εγὼ δὲ πάλαι μὲν ὅσα καὶ φίλῳ προσεκείμην τἀνδρὶ καὶ ὡς πατέρα ἐφίλουν καὶ ὡς ποιμένα ἐσεβαζόμην, ὁπηνίκα καὶ ὑμῶν ἕκαστος. ἐπεὶ δὲ ὑμεῖς τὸν ἄνδρα τῆς ἐκκλησίας ἀπεκηρύξατε, στέργω τοῖς ἐψηφισμένοις κἀγώ. εἰ γοῦν ἐμὲ τὸ γράφεσθαι καὶ ὑμᾶς τὸ δικάζειν ὁ βέλτιστος οὗτος πολὺ δικαιότερον ἀφαιρήσεται, εἰ δ' ἐγὼ παλαιᾶς ἑταιρείας εὐθύνομαι, πῶς οὐκ ἂν αὐτός, οἷς ἔτι καὶ νῦν τὸν ἐπὶ τηλικούτοις ἁλόντα στέργει καί, ὃν ὠθεῖν εἰς βάραθρον ἔδει, τοῦτον οὐδ' ὑπὸ νόμοις τὸ παράπαν γενέσθαι θρασύνεται; οὐ μᾶλλον οὖν ἐκεῖνο τὰ τῆς ἐμῆς παρασαλεύει γραφῆς ἢ τοῦτο βεβαιοτέραν ταύτην ἐνστήσεται. ἓν μὲν οὖν τοῦτο τοιοῦτον καὶ οὕτως ἀπολελόγημαι. ὅτι δ' ὁ μὲν ἠσέβησεν ἐκδηλότατος, ὁ δὲ λάθρα ξυνεψηφίσατο καὶ προὐτρέψατο, ἐντεῦθεν ὡς ἂν οἷός τε ὦ διελέγχειν πειράσομαι.

4. 'Αλλὰ δεῖ πρότερον εἰς ἀρχὴν τὸν λόγον ἀναγαγόντας διατυπῶσαι τὰ τῆς ὑποθέσεως καὶ τῷ πράγματι συναναπτύξαι τὸν ἔλεγχον. ἤδη μὲν ἐκεῖνος — τὸ δ' ἐφ' ὅτῳ καὶ λέγειν πρὸς εἰδότας περιττὸν — παρελύθη τῆς ἀρχῆς, ὑμεῖς δὲ ὁ τῆς ἐκκλησίας κατάλογος πῆ μὲν ἐκροτεῖτε τὸ τρόπαιον πῆ δὲ καὶ τὸν πεσόντα ᾠκτείρετε. φίλοικτρον γὰρ τὸ πνεῦμα, καὶ δακρύειν ὡς ἐπὶ τοιούτοις ἐντέλλεται. καινὸς οὖν ὑμῖν τότε δακρύων ἐπληροῦτο κρατήρ, ἡδονῆς ἅμα καὶ λύπης ἀπόρροια. ὁ δ', ὁ λαμπρὸς ὑπασπιστὴς τοῦ φιλανθρωποτάτου Θεοῦ, ἐπαιάνιζεν ἐπὶ τῷ πεσόντι, ἐπανηγύριζεν ἔχαιρεν, καὶ ὅπως κατεστρατήγησε περιττὸς ἦν διηγούμενος· ἑαυτῷ προσαφωσίου τὴν νίκην, ἑαυτῷ προσαπεκλήρου τὸ τρόπαιον, καὶ ὡς ἀριστεὺς ἐπ' ἄκρων ἔβαινεν. ἐκ

15 κατεμπιμπράναι scripsi : κατεπιμπράναι W κατεμπιπράναι forsitan voluerit 17 inter ἄφυκτον et ἄν a.m. γνῶσιν scripsit in fugam varui; μᾶλλον seu ῥᾶον exstiterat veri similiter 18 ὄφιν συρίττοντα : cf. Ar. Plut. 689s. 20 ὁ μὲν : Ierotheus 22 ὁ δέ : Bagoas 25 τοῦ πεπονθότος : scil. Cosmae 31 αὐτός : Bagoas 32 τὸν ... ἁλόντα : scil. Ierotheum 39 - 40 ἐκεῖνος : Cosmas 44 ὁ δ' : Ierotheus

24 δυσόμενον dubium 34 ἐκεῖνο scripsi : ἐκείνῳ W

τούτων ἄν τις τεκμήραιτο τὸ λοιπὸν μὲν τοῦ βήματος Θεόθεν ἐμπνευσθῆναι καὶ ὑπὲρ Θεοῦ συντάξεσθαι, τὸν δ᾽ ἀνθρωπίνοις νόμοις καὶ οὐδὲ τούτοις ἐπιεικεστέροις ἀναρριπίσαι τὸν πόλεμον. ἐπὶ τούτοις τὸν δεῖνα ξυνειδότος ἐγράφετο,
297 ἄλλον ὕβρεως ἔκρινεν, ἕτερον | ἀπεκάλει κατάπτυστον, τοῦτον ᾐκίζετο ἐκεῖνον ἔμελλεν. ψευδῆ πάντα καὶ φθόνου προσχήματι! Ἐριννὺς ἦν οὗτος τότε τὴν ἐκκλησίαν περιχορεύουσα. οὐχ οὕτως Ὀρέστην Εὐμενίδες ἐπὶ σκηνῆς ἀνετάραξαν ὡς αὐτὸς τὸ βῆμα πᾶν ξυνεκύκα καὶ ξυνεστρόβει· οὐχ οὕτως Θεμιστοκλῆς ἀνίχνευε τοὺς ὅσοι τῆς Ἑλλάδος ἐμήδισαν, οὐχ οὕτως Θρασύβουλος τοῖς περὶ τοὺς τριάκοντα ἐπεφύη μετὰ τὴν τῆς Φυλῆς κατάσχεσιν καὶ τὴν τῆς τυραννίδος καθαίρεσιν. ἐλύπει μὲν οὖν καὶ ταῦτα τούς γε μετριωτέρους ἡμῶν. δεῖ γὰρ ἁπανταχῇ τοὺς ὁπωσοῦν παραχθέντας οἰκτείρειν, δακρύειν, πειρᾶσθαι περισώζειν εἴπερ οἷόν τε. οὕτως Χριστὸς ἡμᾶς φιλανθρωπίαν ἐδίδαξεν, ὡς ἐκεῖνος ὁ τρόπος ἀλάστορος δαίμονος. εἰ δέ πού σοι καὶ τὸ μισοπόνηρον ἐπὶ πλέον ἐπέζεσεν, ἀποσβεννύτω σοι τὸ τοῦ θυμοῦ πῦρ ἡ καθαίρεσις. τέθνηκε τὴν ἀξίαν †τιμένη† λοιπὸν ἀθάνατα. ἤδη καὶ βαρβάροις ἐσπείσαντο μετὰ τελευτὴν Ἕλληνες. σὺ δ᾽ ὁ τοῦ Χριστοῦ μαθητὴς καὶ πρεσβεύων Θεὸν ἀνεξίκακον ἐλέγχῃ καὶ αὐτῶν Ἑλλήνων ὀργιλώτερος. ἀντεπολιτεύσατό σοι μικρόν, οὐκοῦν ἀπεστύγεις, ὅτι καὶ λυπεῖν εἶχε· νῦν δ᾽ ἀλλ᾽ ἀνήρπασται τοῦ μέσου καὶ τὸ λυποῦν ἐκποδών, οὐκοῦν ἀπίτω καὶ θυμὸς ἀλόγιστος. οὕτω καὶ Δημοσθένης, ὃν παρόντα πολλάκις Αἰσχίνην ἐγράψατο, τοῦτον ἐξιόντα τῆς πόλεως καὶ δώροις ἐτίμησε καὶ γράμμασιν ἀνεκτήσατο. οὐ λέγω τὸν Σαοὺλ ὑπνοῦντα, οὐ παράγω τὸ σπήλαιον, ἐπέχω τοῦ Δαυὶδ τὸ μεγαλόψυχον. ὁ γάρ, μηδὲ μετὰ τὸ μικρὸν ἐκεῖνο ἀπόπτωμα τ ῆ ς ὀ ρ γ ῆ ς ἀ ν ι ε ί ς, πῶς ἂν ἔτι καὶ λυπεῖν ἔχοντα μὴ κατὰ τὰς Βάκχας διεσπάσατο;

5. Ἠνία μὲν οὖν καὶ ταῦτα ἡμᾶς· ὁ δ᾽, οὐδὲν τούτων ὑπολογισάμενος, ὕβριν ὕβρει προσεπαντλῶν οὐκ ἔληγεν. ἐδεδίει γὰρ τὴν τῆς τύχης παλίρροιαν, καὶ ὡς ὁ πεσὼν αὖθις ἐστήξεται· ὅθεν ἐπετραγῴδει τὰ πάνδεινα, καὶ μείζω τῶν προτέρων παρανομεῖν ἐκεῖνον δυσχυρίζετο, ἵνα τὰς ἀμείνους τῶν ἐλπίδων ἁπανταχόθεν ὑφέληται. ὡς δ᾽ οὐδὲν οὐδ᾽ οὕτως ἐπέραινεν, οὐδ᾽ εἶχεν ὅπῃ στήσεται τὸ βαρύμηνον, οἵαν ἐπιβουλήν, ἥλιε, ξυνερράψατο, οἷον ἤ ρ τ υ σ ε δ ό λ ο ν, ἡλίκον δρᾶμα ἐμελέτησεν! ἐπὶ τὰς πολυτιμήτους εἰκόνας τρέπεται, ἐπὶ τοὺς ἀθλητὰς τὴν ὕβριν μετοχετεύει. καὶ ὅπως τὸ κακὸν ἐτεκταίνετο ἐθεά-

---

50 *ἀναρριπίσαι τὸν πόλεμον* : (Constant. ap.) Euseb. vit. Constant. 2,49 = p. 62,14 GCS 56 Xenoph. Hell. II 4,1 - 7 68s. cf. Septuag. 1 reg. 26,3ss. 70 Ar. ran. 700 77s. Hom. Od. XI 439

---

52 *προσχήματι* W^{sl} *παρασχήματι* W^{l} 53s. *ἀνετ*ραξαν* W 61 *τέθνηκ* (sic) W^{t} *κε* W^{m} 62 post *ἀξίαν* forsitan aliquid excisum desideraverit W (...) *μένῃ* W^{l} *μαίνῃ* W^{sl} 63 *θεὸν* W^{pc} *θεοῦ* W^{ac} ut vid. 64 *αὐτῶν* scripsi : *αὐτὸν* W

σασθε. ὡς σοφῶς [...] εἶδεν ὡς ἧκεν ὁ χρόνος, καθ᾽ ὃν οἱ ταῖς ἱεραῖς εἰκόσι χεῖρας ἐπιβαλόντες ἀνάγνους εἰς ἀνάθεμα βάλλονται καὶ ὡς ἄγος τῆς ἐκκλησίας ἀπορριπτοῦνται, καὶ γίνεται τοῦτο τοῖς εὐσεβέσι πανήγυρις· εἶδε καὶ ὡς, εἰ ταῦτα δυσσεβῶν ἐκεῖνος ἀπελεγχθήσεται, τὴν αὐτήν γε πάντως ἀποκήρυξιν πείσεται. ἐπενόησεν ὁ ποιητὴς τὸ δρᾶμα, τὴν ὕλην ἐχορήγησε, μόνος ὑποκριτὴς ἐλείπετο, ἀλλ᾽ εὗρε καὶ τοῦτον οὐκ ἀμελέτητον εἰς κακίαν οὐκ ἄτολμον εἰς ἀσέβειαν. ὁ μὲν ὑφηγεῖται τὴν μεταχείρισιν, ὁ δ᾽ ἀποδέχεται τὴν ἐπίνοιαν, ἐπιβάλλει τὰς μιαρὰς χεῖρας, ἅπτεται τῶν ἁγίων ὁ βεβηλότατος, ἐπιχρώζει τὰς ἱερὰς στήλας. οἷς οὗτος ὑπέθετο θόρυβος, ἐν τούτοις καὶ κραυγὴ καὶ
297ᵛ δάκρυα· τέχνη τὰ πάντα | καὶ σκηνῆς γέμοντα. ὡς περιύβρισται τὸ θεῖον, ὡς βεβήλωται τὰ ὅσια! φεῦ τῆς ἀπάτης! ἡλίκον ἡμᾶς ἐδελέασε!

6. Φεῦ τοῦ δρόμου καὶ τῆς σπουδῆς, ᾗ περὶ τὴν ἀγγελίαν ἐχρήσατο! ʽἀπτέρῳ τάχει᾽ ἐπὶ τὸν νεὼν ἵεται, ἱερέων ὅλα γένη συγκαλεῖται περὶ τὴν θέαν, ἀρχιερέας ἀθροίζει, τοὺς τοῦ βήματος προκαθημένους, τὰ τῆς βουλῆς [...], τοὺς ἄστεως, τοὺς ἐπήλυδας· τοιοῦτον θέατρον συγκροτήσας, ἐκπομπεύει τὸ τῶν ἱερέων αἶσχος, θεατρίζει τὸ τῆς ἐκκλησίας ἄγος, καὶ δοκεῖ [...] πρὸς τὴν εὐσέβειαν. ὁ δὲ μηδὲν ξυνειδὼς ἐκεῖνος, πάλιν ὕποπτος, εἰς τὸ πρᾶγμα ἀντέστραπτο. ὁ μὲν καθαρὸς ὑπ᾽ αἰτίασιν ἤγετο, οἱ δὲ τὸ πᾶν δραματουργήσαντες κατηγόρουν ἐδίωκον ἐξήλεγχον· ὁ μὲν ὑπεδείκνυ τὴν ὕβριν, ὁ δ᾽, ὥσπερ κατὰ καρδίας πληγείς, μέγα τι ἀνῴμωξεν· ὁ μὲν αὐτόχειρ ὢν ἐπετραγῴδει καὶ προσήγγελλεν, ὁ δ᾽ αὐτὸς ὢν ὁ χορηγὸς καὶ διδάσκαλος ὡς ἐπ᾽ ἀλλοτρίῳ τῷ δράματι ἀνεκώκυεν ἔστενεν ἐσχετλίαζεν. τέλος τῆς ἐξαπάτης ἐκείνης καὶ τοῦ προσχήματος ἀποσκορακίζειν τέλεον τῆς ἐκκλησίας ἠξίου, ἀναθέματι βάλλειν, ὑπερόριον ἄγειν τὸν ἀσεβῆ τὸν ἐπάρατον.

7. Ἤδη καί τινας τῶν θερμοτέρων ἐπεσπάσαντο πρὸς τὴν ψῆφον, ἀλλ᾽ οὔ τι Θεὸς ἐπεψηφίζετο καὶ τοῦ ξυλλόγου πᾶν ὁπόσον ἀγχινούστερον οὐκ ἐπένευκεν, ἀλλά τις τῶν βαθυτέρων καὶ προσεπέλεγεν. τοῦτο τὸ ὑπόδημα Ἱστιαῖος μὲν ἔρραψεν Ἀρισταγόρας δὲ ὑπεδήσατο. τί οὖν ὁ τῆς ἀληθείας Θεὸς ὁ ποιῶν κρίμα τοῖς ἀδικουμένοις; ἐκεῖνα μὲν οὐκ εἰς μακρὰν ἐπήμυνεν ἀδικουμένῳ τὰ καίρια, τὸν δὲ τοῦ ψεύδους ὑποφήτην οὐκ εἴασε τέλεον κατορχήσασθαι.

80ss. de prima Dominica Quadragesimae agitur, quam Graeci *τὴν τῆς Ὀρθοδοξίας* appellant (*τῆς μεγάλης Τεσσαρακοστῆς*); cf. *τὸ Συνοδικὸν τῆς Ὀρθοδοξίας* 91s. fr. trag. ad. 429 N^{2}. ex Constant. Man. chron. 6400 Nic. Chon. 469,16 CB, al. 96 *ὁ δὲ* : Cosmas 106s. Herod. V 35, al. 108s. *οὐκ εἰς μακρὴν βουλευσάμενοι ἧκον πολλῷ στόλῳ* ibid. 108

---

80 inter *σοφῶς* [an *σαφῶς* scrib.?] et *εἶδεν* rasura duarum vel trium literarum capax W 90 ***δελέασε* W 93 inter *βουλῆς* et *τοὺς* verbum quinque fere literarum, quod legere nequivi (*στέφη*?) W 95 inter *δοκεῖ* et *πρὸς* spatium vacuum septem fere literarum capax W 100 *προσήγγελεν* W 101 *ἐξ ἀπάτης* 106 *ἱστιαῖος* scripsi : *ἵσταιος* W 109 *ψεύδους* W^{c}

τί δεῖ με μακρηγορεῖν πρὸς εἰδότας τὰ πολλά ; ἑάλω καί, δευτέραν ἐπιβουλὴν ξυντιθείς, βεβήλων τὸ βῆμα καταγώγιον ἀποκαλῶν καὶ πλήρη θεομαχούντων εἶναι τὰ ἀνάκτορα δυσφημῶν, οὕτω λαθὼν εἰς ἀπειροκαλίαν ἐξήνεγκε τὴν ὑπόκρισιν. ἀγανακτοῦσιν οἱ παρατυχόντες, ἐπιστομίζουσι θρασυνόμενον, εἰς δεσμωτήριον βάλλουσι, ⟨πληγὰς⟩ πολλὰς ἐντριψάμενοι πρότερον, καὶ γίνεται κατήγορος ἑαυτοῦ καὶ τὸ πρώην ἐκεῖνο ἀνακαλύπτει σόφισμα.

8. Ὅδ' ὁ δεινὸς σοφιστὴς ὑφορᾶται τὸν ἔλεγχον καὶ προϋποπτεύει τὸν μύστην καὶ δέδιε μὴ τὸ μυστήριον ἐξορχήσαιτο. τὸ γοῦν παραυτίκα σύβαριν ἐδείκνυ τὴν εἱρκτὴν καὶ ὁ δεσμώτης ἐτρύφα. μετὰ μὲν τὸ βραχὺ κἀκεῖνον ἔλυσε τῶν δεσμῶν καὶ τοῦ δέους αὐτὸν προσαπέλυσεν. ἆρ' οὐ σαφὴς ταῦτα ἔλεγχος, ἆρ' οὐ πρόδηλα τὰ σύμβολα, ὡς ὁ μὲν ταῖς ἱεραῖς στήλαις ἐπεβούλευσεν ὁ δὲ ξυνεβούλευσε καὶ ξυνεπεβούλευσεν ; ἀλλ' οὕτω γεννάδας ἐστὶ καὶ τοιοῦτον αὐτῷ λῆμμα ἐμπέφυκεν, ὡς †ἐπὶ δ'† αὐτοῖς πράγμασιν ἁλισκόμενος πείθεσθαι· ἀλλ' ἔτι καὶ θρασύνεται καὶ τὴν ἀπὸ τῶν ἔργων μαρτυρίαν φαῦλον ἡγεῖται· καὶ ξυνειδέναι μὲν οὐδὲν ἀπισχυρίζεται διαπορεῖν δὲ σκέπεται, καὶ μηδ' ἀκριβῶς ἐννοεῖν ὑπὲρ ὅτου δὴ καὶ γραφόμεθα. καί που καὶ συχνὰ πυνθάνεται· 'τί γὰρ ὅδε καὶ προσέκρουσεν, ἵνα συνειδότος εὐθύνωμαι ;' οὐ γὰρ εἶναι τοῦτο ἀσέβημα οὐχ ὕβριν εἰκόνων οὐ θεομάχον ἀπόνοιαν. 'οὔτε γὰρ ἀποφορά τις ἐκεῖθεν ἔπνει βαρύοδμος, ἀλλ' οὐδὲ τῶν ἄλλως ἀπειρημένων τι προσετέτριπτο'.

9. Δεῖ γοῦν, πρῶτον ὅπως ἠσέβησαν ὑπογραψαμένους, οὕτω κἂν τις ἕτερος ξυνήρατο διερευνήσασθαι. τί οὖν, ὦ ἄνδρες, ἐγώ φημι ; εἰ τὰς χεῖρας ἐπὶ κακῷ τοῖς τιμίοις ἐπέβαλε, δῆλον ὅτι καὶ περιύβρισεν, οἷς δὲ περιφρονεῖν ἐτόλμα πάντως ἠσέβησεν. ἢ γοῦν οὐκ ἐπὶ τοιούτοις ἐφήψατο, καὶ τὸ ἔγκλημα πέφευγεν, ἢ χεῖρας ἀθεμίτους ἐπήνεγκεν, καὶ χειρὸς δημίου δεῖται. τὸ τόλμημα νυκτὸς ἐπέθετο, μηδενὸς ὁρῶντος ἐπέχραινεν· οὐκοῦν τῷ λάθρα τὸ κακουργεῖν ἕπεται. εἰ δ' οὐχ ὕβρις τοῦτ' ἔστιν, ἀποθειασμὸς ἄν τις εἴη καὶ τῶν ἱερῶν ἀφοσίωσις. εἰ δὲ τοῦτο λέγειν ἀτοπώτατον, ἐκεῖνο τιθέναι λοιπὸν εὐλογώτατον. οὗτος ὁ λόγος ἁπλοῦς ἁπανταχῇ καὶ δίκαιος· εἰ δίκαιον οὐκ ἄδικον,
298 εἰ καλὸν οὐκ αἰσχρόν, εἰ λυσιτελὲς | ⟨. . .⟩. εἰς νοῦν ἐκείνοις ἐπῆλθε χρῆμά τι ξένον κακίας· οὕτω τι ξύνθετον οὐκ οἶδεν ὁ νομοθέτης, ἀσέβημα τὸ τοιοῦτον ὅ τι μηδ' ἁπλῶς οἶδε· καὶ οὐ τοῦτο μόνον ἠγνόησεν, ἀλλὰ καὶ τὰ ἕτερα. καὶ οἱ κακουργοῦντες οὐ παρὰ τοῦτο ἀνεύθυνοι. τὸ γὰρ ὡς ἕκαστα καταλέγειν ὅσα καὶ ὅπως διαμαρτήσεται, δύσεργόν τε καὶ ἄλλως ἀπέραντον, ὅθεν ὁρισάμενος, τίς ὁ κακουργῶν, καὶ τί τὸ κακουργεῖν βούλεται. τὰς εὐθύνας εὐθὺς ἐπιφέρει· τοὺς δὲ τρόπους, καθ' οὓς ἀσεβήσει τις, αὐτοὶ προσεφευρίσκουσι

114 inserui 117 *σίβαριν* W 125 *δὴ* in cod. incert. 139 *αἰσχρὸν* W^{c} | post *λυσιτελὲς* excisa quaedam desiderantur 141 *τὰ* scripsi : ** W 143 *ὅσα* scripsi : o** W 144 *κακουργῶν* W^{pc} *κακουργήσας* W^{ac}

μικρὰ φροντίζοντες καὶ τῶν νόμων καὶ τῆς ἐκ τῶν νόμων ποινῆς. ἐπεὶ καὶ κλέπτην ἀποφαίνεται τὸν ὑφαιρούμενον τὰ ἀλλότρια, τὸ δ' ὅπως ἀπεσιώπησεν, εἴθ' ὅτι νυκτὸς εἴθ' ὅτι μεθ' ἡμέραν, εἴθ' ὅτι τὸν ὀπισθόδομον ὑπορύξας ἢ τρόπον ἕτερον ἐπιθέμενος. καὶ τυμβωρυχίας κρίνει τὸν οὐχ ὁσίως τὰς τῶν τεθνεώτων ἀναρρήξαντα θήκας· εἰ δ' ὡς ἐχθροῦ τὴν κόνιν ἐκεῖνος ἐσκέδασεν, εἰ δὲ καὶ χρημάτων ἐρῶν, οὐκ ἐφρόντισεν. αὐτόμολον οἶδε καὶ τὸν εἰς ἐχθροὺς ἀποδράντα, τὸν δὲ τοῦ δρασμοῦ τρόπον οὐκ ἐπολυπραγμόνησε. πῶς οὖν ὑμᾶς τὸ τῆς τόλμης καινὸν ἐξαιρήσεται ; μᾶλλον μὲν οὖν, καὶ ὡς κακίας καινοτέρας ἐφεύρεται, καινοτέραν καὶ τὴν τιμωρίαν ὑφέξεται.

10. Ὅ τι μηδ' ἂν νομοθέτης ὑπώπτευσεν, ὑμῖν πεπανούργευται. ὁ μὲν πρῶτος ἄεθλος ἐκτετέλεσται καὶ διήνυσται, καὶ ὡς δυσσέβημα τὸ κακούργημα δέδεικται· ὅτι δὲ καὶ τῆς τούτου γνώμης ἐξήρτηται, λοιπὸν ἂν εἴη λέγειν· καὶ ὁ λόγος πρὸς ὅ τι καὶ τὴν ἀρχὴν προὔθετο τρέψεται, ἀλλὰ καὶ πάλιν οὗτος ἀγανακτεῖν σχηματίζεται· μὴ γάρ, οἷς ἐθεομάχησεν ἕτερος, αὐτὸν προσήκειν εὐθύνεσθαι. ἀλλὰ τί καὶ σχετλιάζεις ; τί καὶ βαρυθυμεῖς, ὅτι πρὸς σέ μοι ὁ λόγος μετέστραπται καί, ὧν οὗτος ἐτόλμησεν, ἐπὶ σὲ καὶ τὴν σὴν κεφαλὴν περιάγω τὸν κίνδυνον ; οὗτος ἔχρησε τὰς χεῖρας, σὺ τὴν ὕβριν ἐσκαιώρησας· οὗτος τὸν ἆθλον ὑπέστη, σὺ πρὸς τὴν τόλμαν ἐπέρρωσας. καὶ δεῖ τὸν ἀλείπτην οὐχ ἧττον ἢ τὸν ἀθλητὴν αἰτιᾶσθαι. ἐπησκήσω κατάρατος τὸν κατάρατον εἰς ἀναιδείαν, καὶ δέχου τὸν ὡς ἐπὶ τοιούτοις στέφανον. ὡς καλὸν ὑμῖν τὸ παγκράτιον! καινὸν τρόπον σὺ μὲν κατὰ μαρτύρων ὑπείληφες, ὁ δὲ τὰς μαρτύρων στήλας ἐπήλειφε. παράδοξον ὑμῖν τὸ στρατήγημα· σὺ μὲν τὸν ἐπὶ τοῖς μάρτυσιν ὑφηγοῦ λόγον, ὁ δὲ κατὰ μαρτύρων σκιαμαχῶν ὡπλίζετο. ὡς ἐγὼ τῆς νίκης αἰτιῶμαι τὸν στρατηγὸν μᾶλλον ἢ τὸν ὑπασπιστήν, οὕτως ἐν παλαισταῖς ἐδίκαζον οἱ Δελφοί, οὕτως ἐν παγκρατισταῖς ἐν πύκτεσιν ἐν σταδιοδρόμοις ἐν ἅπασι. διὰ τί ; ὅτι ὁ μὲν ἀλείπτης καὶ ὁ στρατηγὸς ἀρχιτεκτονοῦσιν, οἱ δ' ὑπείκουσιν. ὅμοιον, ὡς εἴ τις ξίφος ἐπανατεινάμενος παίσειε τῶν τινα πολιτῶν· κἀνταῦθα γὰρ ὁ μὲν ἐκίνησε, τὸ δ' ὡς ὄργανον ὑπηρέτησεν. εἰ δ' ἐνταῦθα τὸ τὴν πληγὴν εἰργασμένον ἄψυχον, ἀλλὰ καὶ στρατιώτης καὶ ξίφος καὶ ἀθλητὴς πάντα ἑτεροκίνητα· ἀποτρόπαιον δὲ καὶ σίδηρος λύθρου ἀποστάζων ἀδίκου, καί τις ἰδὼν ἀπεσείσατο. διὰ ταῦτα οὔτε τὸν κακῶς ὑπηρετησάμενον ἀπολύσομαι τῆς εὐθύνης καὶ τῆς γραφῆς, καὶ τὸν ὑποθέμενον τὰ παράνομα πολὺ μᾶλλον γεγράψομαι.

11. Ξυνίστορά σε τῆς μιαρᾶς ἐπιθέσεως, οὐκ αὐτόχειρα τίθεμαι. οὐκ ἐπεχείρησας, ἀλλ' ἐπενόησας· οὐκ ἐξέτεινας τὴν δεξιάν, ἀλλὰ τὸν νοῦν προε-

157 *τούτου* scil. Bagoae

149 *ὁσίως* W^{pc} *ὡσίως* W^{ac} ut vid. 158 *τρέψεται* scripsi : *τέρψεται* W 160 ante *βαρυθυμεῖς* veri simil. *καὶ* scripsit dein oblitteravit 166 *καταμαρτυρῶν* W

298v ξέτεινας. | εἰ καὶ γὰρ οὐκ ἐνῆν ἄλλως ἐξαμαρτεῖν, εἰ μὴ καὶ τὸ δεινὸν αὐτοχειρίᾳ τολμήσει τις, ἴσως ἄν τι καὶ λέγειν ἐδόκεις. ἐπεὶ δ᾽ οἱ βαθεῖαν τὴν ἀλωπεκῆν ἐπισείοντες τὰς μὲν χεῖρας ἐπέχουσι, τὰς δὲ βουλὰς ἐπιτείνουσι, μάταιον τοῦτό σοι πρὸς ἀπολογίαν, οὐκ ἰσχυρὸν εἰς παράκρουσιν. οὐκ ἀκούεις τῆς κωμῳδίας τιθεμένης 'τὼ μὲν χεῖρ᾽ ἐν Αἰτωλοῖς, ὁ δὲ νοῦς ἐν Κλωπιδῶν᾽; τί δ᾽ ἂν αὐτῇ τοῦτο βούλοιτο; ἢ ὅτι καὶ τῇδέ που παρόντας ἑτέρωσε κακουργεῖν οὐ παράδοξον;

12. Ἀλλὰ τῆς προτέρας ἀγωγῆς ὡς ἱερᾶς ἀγκύρας προσεπιδράττῃ· μὴ γὰρ εἶναι τὸν οὕτω βεβιωκότα μηδ᾽ ἁπλῶς ἐθελῆσαι τηλικαῦτα παρανομῆσαι. καλῶς — οὐκ ἀποποιοῦμαι τὴν ἐκ τῶν ἔργων συνηγορίαν. οὐκοῦν ἐπιβεβαιοῖ σοι τὸ παρὸν τὰ προειργασμένα τὰ προβεβιωμένα, καὶ βίον ὅλον ἔχεις κατήγορον. ἀξιῶ δὲ ὑμᾶς, ὦ ἄνδρες, ἐπεὶ πρὸς τοῦτον ἐμπέπτωκα τὸν λόγον, μή με φιλολοίδορον μηδὲ σκαιὸν ἄλλως νομίσητε. περικρύψαι μὲν γάρ, ὡς ἂν οἷός τε ὦ, πειράσομαι τὰ πολλά· εἰ δέ τι καὶ περιπλέκειν οὐ δίδωσιν, οὐχ ὁ βιασθεὶς ἐξειπεῖν, ἀλλ᾽ ὁ δράσας ἀπαρακαλύπτως, αἴτιος. τούτῳ πατὴρ μὲν ἦν πένης τὴν τύχην, θαλαττοκόπος τὴν τέχνην· οὐ τριηράρχης οὐ κυβερνήτης, ἀλλ᾽ οὐδὲ τριηρίτης τὸ φαυλότατον ἢ θαλάμαξ, οὓς ἡ κωμῳδία διαπαίζει — πολλοῦ μέντ᾽ ἂν ἦν ἄξιος, εἰ τοῦτον ἐπλήρωσε τὸν κατάλογον — ἀλλ᾽ ἀπὸ λυπρῶν ἰχθυδίων ἐναριζόμενος τὴν τροφὴν ἀκάτιόν τι δύ⟨σ⟩σελμον, ἐπὶ μισθῷ καὶ τοῦτο, ἐρέττων. μετανάστης ὡς ἐπίπαν ἄλλοτε ἄλλην τῶν πόλεων ἐπιπλέων, τελευταῖον ἐπὶ τὴν Διογένους χωρεῖ καὶ πέλαγος ἰχθυοτρόφον ἐπὶ μακρὸν ἀναπεπταμένον ἰδών, πῶς ἂν εἴπῃ τις, ἐχωροφίλησεν ἐκεῖσε καὶ γυναῖκα ἤλπισεν ἀγαγέσθαι — τῷ τέως γὰρ ὤκνει καὶ οὐκ ἐθάρρει τὸν γάμον — ἀλλ᾽ ἡ Τύχη καὶ πάλιν ἀντέπνευσε καὶ ἀλλοτρίας ὁλκάδος ἐπιβὰς ἐπὶ τοὺς Βοσπορίους βαρβάρους ἔπλευσε. λιμὸς δὲ καὶ γαστὴρ ἤπειγεν. οὐ γὰρ ἐκάλει Θεὸς ὡς πάλαι τὸν Ἀβραάμ, ἵνα τὸν καλὸν Ἰσαὰκ ἀντιδοίη τῆς πίστεως, ἀλλά τις δαίμων ἀλάστωρ, ἵνα θυμοβάρβαρον Σκύθην ἡ ψυχρὰ Μαιῶτις μαιεύσηται καὶ τὸ βῆμα παρεισδύς, ταχὺ τῶν Σκυθῶν ἐρημίαν ἐργάσηται, πῇ μὲν ὡς δυσηκόους τοὺς ὑπηκόους διωθούμενος, πῇ δ᾽ αὐτοῖς τοῖς τῶν

182s. cf. Zenob. I 93 = CPG I 30,9s. 'ἂν ἡ λεοντῆ μὴ ἐξίκηται, τὴν ἀλωπεκῆν πρόσαψον᾽ : ἂν μὴ φανερῶς δύνῃ βλάψαι, πανουργίᾳ χρῆσαι 184s. Ar. eq. 79 (ὁ νοῦς δ)᾽ 197 θαλάμαξ Ar. ran. 1074 201 Sinopes 202 cf. Poll. IX 13 χωροφιλεῖν παρὰ Ἀντιφῶντι (5 = 5,78) Thal. ep. 1,12 Hercher (= Diog. Laert. I 44) 203s. Clitomach. ap. Stob. IV 41,29 = IV 937,1 Hense τοῖς εὐπλοοῦσιν ἀντιπνεύσασ᾽ ἡ Τύχη — ἅπαντα συγχεῖ 205 cf. 207 206 Septuag. gen. 12,1. 15,4 (22,12) 208 Ar. Ach. 704 Macar. VII 66 = CPG II 208,3s.

181 καί^{1} scripsi : *** W 183 ἀλωπεκὴν W 185 τὼ W^{pc} τὸν W^{ac} 189 εἶναι scripsi : lect. cod. incert. 193 νομίσητε W^{sl} νομίσῃ W^{l} 199 δύσελμον W ut Hom. εὔσελμος

ἱερῶν προκαθημένοις κακὰ βουλεύων καὶ μυρία δυσφημῶν καὶ κινῶν τὰ ἀκίνητα.

13. Ἠκούσατε ὅπως ἀπὸ Σκυθῶν τὸ πεῖσμα τοῦ γένους ἐβέβλητο, Σκυθίδα μητέρα εὐτυχήσας, καὶ λιμοῦ πόρισμα γεγονὼς καὶ λυπρᾶς τροφῆς παρεμπόρευμα. τὸν δ᾽ ἐντεῦθεν ἐκφῦντα καὶ Χριστομαχεῖν ἐθέλειν οὐδὲν ἄπιστον. εἶτα καὶ τὸν παῖδα ἐπαγόμενος ὁ πατὴρ ἐπὶ τὴν Μεγαλόπολιν παλινοστεῖ, καί, τρέφειν οὐχ οἷός τε ὤν, ἀποπροσποιεῖται τὸ πατὴρ εἶναι καὶ φέρων ἐγχειρίζει τῷ μητραδέλφῳ, πένητι μὲν ὄντι καὶ τούτῳ, φιλήσειν δὲ ἄλλως ὑπεσχημένῳ καὶ ὅσα καὶ παιδὸς ἐπιμελήσεσθαι. ὁ δὲ γραμματοδιδασκάλοις ἐκδίδωσιν. ὡς δ᾽ ἀμφὶ τὸ μειράκιον ἔφθασεν, ὑπήγγε⟨λ⟩λέ τι καὶ ὥρας καὶ ἦν αἱμύλον καὶ λαλιὰν ἤσκει καὶ πάνθ᾽, οἷς ἀγάλλεται τὸ φιλόκαλον, ἐπετήδευεν. ἐπεὶ δ᾽ εὐπρόσωπος ἅμα καὶ φιλάνθρωπος ἐδόκει καὶ τῇ μητρὶ ὅμοιος, ὁρᾷ τῶν τινα ξυνηλικιωτῶν ὀφθαλμιῶντα καὶ θεραπεύει τὸ πάθος. ἐντεῦθεν αὐτῷ τὰ τῆς ἑταιρείας ἄλυτα. τίς τὴν καλὴν ἐκείνην ξυνωρίδα ἠγνόησε; τίς οὐκ ἐθαύμασε τῆς φιλίας; τίς οὐ Μολιονίδας ἐκάλεσε — ξυμφυεῖς ἄλλως ὁρῶν ἧπερ ὁ μῦθος ἐτερατεύσατο — ἐπὶ τοσοῦτον ἀλλήλοις ξυνεδέθησαν καὶ ξυνετάκησαν καὶ ὡς εἰς ἓν ξυνεκράθησαν; ἀλλὰ τί τοῦ φιλοῦντος ἀπώνατο; προὔχων ἐκεῖνος τὴν ἡλικίαν ἐνέσπειρεν αὐτῷ μυρία τῶν μαθημάτων, παιδοτριβῶν ὁσημέραι καὶ ὡς ἥδιστα ἐξασκούμενος. ὡς δ᾽ ἧκεν ὀψέ ποτε καὶ χρόνος ὁ τοῖς καλοῖς ἐπίβουλος, οὐκ ἔπαθε τὸ τῶν πολλῶν οὐκ ἀπείπατο τὴν ἑταιρίαν οὐκ ἐκαρτέρησε τὴν διάζευξιν, ἀλλ᾽ ἔρωτι τῆς ὑπ᾽ ἐκείνῳ διατριβῆς καί, ὡς ἂν
299 ὑφ᾽ ἑταίρῳ | καλῷ τε κἀγαθῷ μένῃ παιδαγωγούμενος, ἐπιτολμᾷ τι καὶ παραβολώτερον· ἀνανδρίαν ἑαυτοῦ καταψηφίζεται καὶ ὑποπίπτει τοῖς τέμνουσι, πάντα πάσχειν καὶ παρὰ φύσιν δουλεύειν ἔνθα †τὸ κὲρ† οὐκ ἀποκνῇ.

14. Ἀπείρηκα περιπλέκων, ὦ ἄνδρες, νὴ τὴν ἱερὰν Σωφροσύνην καὶ οὓς ὑμῶν ὑπὲρ σωφροσύνης πρεσβεύετε νόμους, καὶ οὐκ οἶδ᾽ εἴπερ ἡντιναοῦν ἔμφασιν παραλέλοιπα. ἆρ᾽ οὖν μοι δοκεῖτε κίναιδον αὐτὸν εἰπεῖν; ὅδ᾽ ἑταιρικῶς καὶ μὴ τῷ σώματι καθαρεύων, εἶτα ἐπιπηδήσας τῷ βήματι, πῶς ἂν οὗτος ὀρθῇ γνώμῃ περὶ τὸ θεῖον φέροιτο; ἢ τίνος, καὶ τῶν ἀτοπωτάτων, ἀποσχέσθαι βουλήσοιτο; ἢ πάντα τολμητὰ τούτῳ ἔσται, πάντα εὐεπιχείρητα; φόβος τὰ θεῖα 'τοῖσι σώφροσι βροτῶν᾽· ὁ δ᾽, οἷς ἔφθην εἰπών, ἔνοχος

210s. prov. ἀκίνητα κινεῖν Greg. Cypr. Leid. I 62 = CPG II 62,1s (...ὅτι μὴ δεῖ κινεῖν μηδὲ βωμοὺς ἢ τάφους ἢ ὅρους) 224 Molionidae: Eustath. Od. 1686,45 ad Ibyc. fr. 4 Page (ex Ath. II 57f - 58a) | ἄλλως . . . ἧπερ . . .: scilicet non γεγαῶτας ἐν ᾠέῳ — ἀργυρέῳ (Ibyc. l.l.)! 225s. cf. Plat. symp. 192e 228s. Plat. ibid. 203d 232 cf. Lucian. Syr. 26 = III 353,19s. Jac. 240 Soph. Phil. 304 (σώφροσιν)

216s. ἐγχειρίει W 219 inserui 231 μένῃ W^{pc} μένει W^{ac} 233 κερ****** W 233 ἀποκνεῖ fort. scrib. 235 ὑμ*** W

ὤν, εἰκότως καὶ τότε τῶν ἀδύτων [. . .] ἐτόλμησε. καὶ νῦν, ἀνόσιος ἐν ὁσίοις, ἀθεμιτουργεῖν οὐκ ἀπώκνησε τὰ μὲν τῆς προτέρας ἡλικίας καὶ δὴ τοιαῦτα καὶ οὕτω νεανικά, τὰ δ' ἐφεξῆς καὶ ὅσα εἰς ἄνδρας ἥκων ἐπολιτεύσατο. ἐπιπόλαιον μέν τις ἰδὼν καὶ μὴ ξυμβαλὼν τὸ πλάσμα καὶ τὴν ὑπόκρισιν, θᾶττον ἂν ἐπεφώνησεν· 'ἀνὴρ ὅδ' οὐκέτ' αὐτὸς ἐκνεύει πάλιν'. βραχὺ δ' ἐπιστήσας καὶ καταμαθών, ταχὺ παλινῳδίαν ᾄδων ἀνταπεφώνησεν· «'ἔστι δ' ἡ πάλαι γυνή'· οὐ γὰρ τὸν τρόπον, ἀλλὰ τὸ σχῆμα ἐξήλλακτο».

15. Αὐτίκα περὶ τοὺς νεὼς ἐνδιατρίβειν ἄρχεται, πλέον ἤπερ οἱ τῶν νεωκόρων ἐπιμελέστεροι, καί, τοὺς ὀφθαλμοὺς ὡσεὶ κέρα ἠὲ σίδηρον ταῖς ἱεραῖς εἰκόσι ἐπερεισάμενος, ὑπεψιθύριζέ τι λεπτὸν συχνὰ ἐπὶ γόνυ πίπτων, δακρύων, θεοκλυτῶν· πᾶσι τρόποις τὸ θεοσεβὲς δοκεῖν εἶναι θηρώμενος, μηχανᾶται καὶ τὸ εὐπροσήγορον. ὑπὲρ ὅτου δὲ τὸ προσωπεῖον τοῦτο ἐπλάττετο; εἶδε, βαθὺς ὢν τὴν κακόνοιαν, ὡς ἅπασιν οἷς ἀρετῆς μέλει καὶ θεοσεβείας μέλει, καὶ τὰ ἱερὰ ἐσφοιτῶσι καὶ γίνεται θέατρον εὐσεβούντων τὸ τέμενος. εἰ γοῦν τόν τε στάσιμον ἐν προσευχαῖς ἐπιδείξαιτο, καὶ τὸ φιλοπροσήγορον ἐπιτεχνώσαιτο πραεῖαν καὶ μειλίχιον κερασάμενος τὴν φωνήν, ῥᾷον ἂν δελεάσῃ τοὺς ἁπλουστέρους. ἐθάμιζε καὶ περὶ τὰ σκηνεῖα, καὶ τοῖς τῶν μοναχῶν ἐπισημοτέροις τὴν φήμην ἢ τὴν ἀρετὴν θαμὰ ἐπεμίγνυτο. ἄλλο τοῦτο δέλεαρ· ἐγκράτειάν τε γὰρ ἐνάκριζε καὶ τὸ ἀπρᾶγμον ἐθαύμαζε καὶ λαχαν⟨ον⟩ηφαλίαν ἐπῄνει καὶ ὕδατος ἔσπα. ἐκ τούτου καὶ τὴν προτέραν κακοφημίαν ἀπεσκευάσατο καί τις αὐτοῦ λόγος καὶ περὶ τὰ ἀνάκτορα ἔρρει, τῶν μοναχῶν ὡς εἰκὸς διαπορθμευόντων. οὐ γὰρ ἠμέλει περιὼν ὁπόσους ᾔδει τούτων αὐλικοὺς καὶ οἰκότριβας.

16. Τοιοῦτον αὐτοῦ τοῦ βίου τὸ πρόσχημα, τοσοῦτον τὸ δολερὸν καὶ πολύτροπον! ὑπὲρ τὸν χαμαιλέοντα δεινὸς ἐναλλάττεσθαι, ὑπὲρ τὸν Ἀλκιβιάδην τοῖς προσπεσοῦσιν εὐφυὲς ἐναρμόττεσθαι. χθὲς μὴ δυσηνίους εἶναι τοὺς ὑπὸ χεῖρα ἐδίδασκε, καὶ σήμερον ἐπὶ τὸν ἀρχιερέα πάντα δόλον καθιεὶς οὐκ αἰσχύνεται. μὴ χρημάτων ἕνεκα πρὸ μικροῦ στασιάζειν ἐνομοθέτει, καὶ νῦν ἐπὶ χρήμασι πάντα πράττων πεφώραται. εἰς ἀσέβειαν ἐλοιδόρει πρὸ τοῦ θρόνου καὶ τῆς ἀξίας, καὶ μετὰ βραχὺ τὴν φωνὴν ἀλλαξάμενος ἀπεκάλει φιλόχριστον, μικρὸν αὖθις καὶ πρὸς τὴν προτέραν χωρεῖ δυσφημίαν, ὡς οἱ κύνες ἐπὶ τὸν ἔμετον. πουλύποδος ὀργὴν ἴσχει κατὰ τὴν ποίη-

246s. Eur. Or. 129 (cf. Plut. Alc. 6)   249s. Hom. Od. XIX 211   265s. Plut. Alc. 23,4s. cf. Leutsch ad Greg. Cypr. Leid. III 32 (prov. *χαμαιλέοντος εὐμεταβολώτερος*) = CPG II 90,3s. Apost. XVIII 9 = 719,1ss.   265ss. cf. Plut. Alc. 2,1   271s. Greg. Cypr. II 83 = CPG I 366,1   272s. Theogn. 215 (*πουλύπου ὀργὴν ἴσχε πολυπλόκου*; cf. Diogenian. I 23 = CPG I 184,16s.)

241 supra *ἀδύτων* aliquid W, quod legere nequivi (*κατ-*?)   257 *σκενεῖα* W   258 *ἐπισημοτήροις* W^pc *ἐπιδημοτέροις* W^ac prob,   260 an *ἔσπασεν* Winc.   266 an *εὐφυὴς* scrib.?

σιν. 'ἐπὶ τὸν εὖ πράττοντα τοῖχον' ἀεί, κατὰ τὴν παροιμίαν, μεταπηδᾷ, τύχης ἀνδράποδον καὶ φοροῦ πραγμάτων δοῦλος, ἄνθρωπος κύβου πολυπτωτότερος, τοῦ Εὐρίπου παλιντροπώτερος, μόνον ἀρετῆς χρῶμα ἐπιμορφαζόμενος, χολοβάφινος οὐ χρυσοῦς τὴν εὐσέβειαν. οὐκ ἐπαινεῖ τὸ γενναῖον Αἰσχύλου τὸ 'μὴ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλειν' ἀποφαινόμενον, τὸ Εὐριπίδου βωμολόχον ἀποθαυμάζει 'τὸ δοκεῖν, κἂν ἀπῇ τῆς ἀληθείας' ἀποδεχόμενον.

17. Εἶτα, ὦ κατάπτυστε, τοιοῦτος ὢν καὶ τοιαῦτα βεβιωκώς, τὰ πρὸ τοῦ σοι πεπολιτευμένα παράγειν οὐκ ἐρυθριᾷς; ἀπὸ τούτων ἁλίσκῃ μᾶλλον
299v *ὡς οὐδὲν ἂν ἦν σοι τῶν αἰσχίστων ἀβούλητον. | πάλαι τὸν δείλαιον ὑπεκάθου καὶ νῦν, καιροῦ δραξάμενος, ἐπέθου. ἐκ μακροῦ τὸ μῖσος ἔτρεφες καὶ δῆλος ἧς ἐπικρατεύσων, εἰ καὶ τύχῃ ξυνάροιτο. ὑφωρῶ τὴν τῆς ἐπιτιμίας ἔκπτωσιν, ὑπώπτευες καὶ χρημάτων ἀποβολήν, προσυπώπτευες καὶ ὅσα πρὸς ὕβριν δεινὰ καὶ σχέτλια. τί δ' ἂν μὴ πρὸς ἄμυναν ἐπενόησε Σκυθική τις φύσις ἀπονενοημένη καὶ θανατῶσα; τί δ' οὐκ ἂν ἐπῄνεσεν εἰς ἐχθροῦ ζημίαν ἧκον καὶ θυμὸν ἐμπλῆσαι δυνάμενον ἐλλεβόρου δεόμενος ἄνθρωπος; ὡς ἀπὸ Μαιώτιδος ψυχρὸς τὴν ἀγάπην, τὴν πίστιν ψυχρότερος, μόνον τὸν θυμὸν ἐμπύριος. εἰ δὲ καὶ σαυτὸν ἔπληττες τὴν καιρίαν, μᾶλλον οἷς θεομαχεῖν ἐπεβάλλου. Σκυθικόν σοι καὶ τοῦτο καὶ συγγενές· ἐκεῖνοι λοχῶσι τὸν ἐχθρόν· ἂν δὲ καὶ μετὰ τὸ δρᾶσαι δεήσῃ παθεῖν, οὐκ ἄχθονται. προσέτι καὶ θυμός, εἰς μανίαν ἐκκυλισθείς, οὐκ οἶδεν ἀκριβωλογεῖσθαι πρὸς ἄμυναν. τρίτον ὅ τι μηδ' ἀρχαιόπλουτος εἶ τὴν εὐσέβειαν, ἀλλ' ὑποσκάζεις τὰ μητρόθεν περὶ τὸ σέβας, καὶ δέδια μὴ τὸν Ἀκινάκην τιμᾷς καὶ ἀποθειάζεις τὸν Ζάμολξιν. Χριστὸς δέ σοι καὶ τὰ Χριστοῦ πρόσχημα καὶ προσωπεῖον καὶ Σκυθικοῦ περίκρυψις. τί γὰρ καὶ τῶν τοῦ Χριστοῦ ζηλώσας ἔχεις; τὸ φιλάνθρωπον; ἀλλὰ τὸ φιλάληθες, ἀλλὰ τὸ μὴ πρὸς ὀργὴν εὐέξαπτον, ἀλλὰ τὸ μὴ πάντα τολμᾶν ἐθέλειν ἐπὶ χρήμασι; πάντα σοι ταῦτα 'κενὴ μακαρία', καὶ τοῖς λόγοις τρισόλβια, τοῖς δὲ ἔργοις ἀνόνητα.*

18. Πολλάκις βούλεταί τις ἀνοσιουργεῖν, ἀλλ', ἰδὼν ὡς οὐκ εὐεπιχεί-

273 Ar. ran. 537 (*πρὸς* loco *ἐπὶ* et *μετακυλίνδειν* loco *μεταπηδᾷ*), versus in prov. translatus (cf. Suid. s.v. *δύο τοίχους*)   275 cf. Aeschin. 3,90 *πλείους τραπόμενος τροπὰς τοῦ Εὐρίπου* Poll. VI 121 Diogenian. III 39 = CPG I 222,1s.   276 Constant. Man. chron. 4770   277 Aesch. Sept. 592 (*μὴ*] *οὐ γὰρ . . . θέλει*)   278 Eur. Or. 236 (*κἂν ἀληθείας ἀπῇ*)   285 Arist. eth. Nic. 1115a 21   288 cf. Hom. Od. XVII 603   290 cf. Aesch. Ag. 1343 et Herod. III 64   295s. Acinaces apud Scythas pro deo habitus: Lucian. Tox. 38 = II 288,1ss. Jac. | cf. Jupp. trag. 42 = II 371,22s. *Σκύθαι μὲν Ἀκινάκῃ θύοντες καὶ Θρᾷκες Ζαμόλξιδι* et Scyth. 4 = I 406,23s. *πρὸς Ἀκινάκου καὶ Ζαμόλξιδος, τῶν πατρῴων ἡμῶν θεῶν*   299 Lucian. Hermot. 71 = I 381,28s. Jac.

282 *πάλαι* scripsi : *π***** W   284 *ἐπ**κρατεύσων* W   288 *ἐλεβόρου* W

ρητον, ἐπέχεται. τὸ δὲ σὸν τοῦτο πολλὴν ὅσην ἀποφέρεται τὴν δυσχέρειαν· εὗρες τὸν ξυλληψόμενον καὶ κολοιὸς πὰρ κολοιὸν ἰζήσας ξυνερράψω τὴν ἐπιβουλήν· τὸν αὐτόν σοι φόνον ὑπέτυφε, τὴν αὐτὴν δυ⟨σ⟩θεΐαν ὑπέτρεφε, καί, σου τῆς ξυμβουλῆς οἷά τινος δραξάμενος πνεύματος, ταχὺ τὸν πυρσὸν ἐπὶ μέγα ἦρε· καὶ ὁ ταλαίπωρος ἐκεῖνος ὑφ᾽ ὑμῶν αὖθις ἐπρηστηριάζετο. εἰ δὲ 'τὸν ὁμοῖον ποτὶ τὸν ὁμοῖον ἄγει θεός', ἀλλ᾽ ὑμᾶς οὐ θεὸς τὸ τηνικαῦτα ξυνῆγεν, Ἐριννὺς δέ τις θεομάχος ξυνῆγε. ἔρημα τὰ μαρτύρων προὔκειτο καὶ σχεδιάζει τὴν ὕβριν. ἐξῆν καὶ νυκτὸς μέσης καὶ περὶ πλήθουσαν ἀγοράν, βούλησις ἦν τὸ πᾶσαν ξυνειληφὸς τὴν δυσχέρειαν. ἀλλ᾽ ὁ τρόπος ὑμῖν καὶ τοῦτο ῥᾷον ἐποίει, ὡς τό γε δύνασθαι ταὐτὸν καὶ τὴν δεξιὰν προτεινόμενον βραχύ τι προσεπιχρίσαι τοῦ μέλιτος. ἦ μέγα καὶ οὐκ εὐπόριστον τὸ ἀνάλωμα· εἰ δὲ 'τοιοῦτος ἕκαστος οἷσπερ ἥδεται ξυνών', οὐκ ἀπίθανά μοι τὰ τῆς κατηγορίας οὐδὲ ψιλή τις ὑπόνοια καὶ μάταιος στοχασμὸς ἐξ οὐκ ὄντων πλαττόμενος. ὑπερεφίλεις καὶ προτοῦ τὸν ἀνόσιον, ἐκοινώνεις τούτῳ τῶν ἀπορρήτων, πάντα ξυνεπεβούλευες καὶ ξυνεπεχείρεις. νυκτὸς περὶ τὴν σὴν οἰκίαν ἐφοίτα, μεθ᾽ ἡμέραν ξυνδιέτριβε λόγους, οὓς μὲν αὐτὸς διεπόρθμευεν, οὓς δ᾽ ἀπὸ τῆς σῆς περινοίας ἐδέχετο. κατηγορίας ἄμφω ξυνετίθεσθε. ὁ μὲν προὐβάλλετο, σὺ δ᾽ ἐπεμαρτύρεις· οἵους οἶμοι πρωταγωνιστὰς τῆς εὐσεβείας εἶδεν ἥλιος! ὕποπτον καὶ τὸν ἀγῶνα ἐκεῖνον εἰργάσασθε. ἐπεὶ δὲ καὶ ὁ ἆθλος τετέλεστο, τίς ἂν εἴποι τὰς δεξιώσεις, τὰ φιλίτια δεῖπνα, τὰς φιλοτησίους κύλικας, ἃς ἀλλήλοις χανδὸν προὐπίνετε, τοὺς κροταλισμοὺς τὰς ἀναβακχεύσεις, τοὺς ἐκεῖθεν ἀναβράζοντας γέλωτας, τὴν ἀκόρεστον ἡδονήν, τοὺς ἐπινικίους παιάνας; τάχα καὶ ὑπωρχήσασθε παράφοροι καὶ μεθύοντες, οἱ τῆς ἐκκλησίας τρισαριστεῖς, οἱ τριταγωνισταὶ τῆς πίστεως!

19. Βραχὺς ἐρρύη καιρὸς καὶ τὸν ξυναθλητὴν καὶ φίλον ξυμπότην εἰς μέσον παρῆγες, ὁ δ᾽ ἐξετραγῴδει τὰ περὶ τοὺς μάρτυρας. ἐπεὶ δὲ καὶ τίς ὁ σκαιωρήσας ἐπύθοντο, ξυνεπνεύσατε πάλιν κατὰ τοῦ δυστυχοῦς καὶ μιά-

303 prov. Arist. eth. Nic. 1155a 34 (πὰρ]ποτί) cf. ad 307 307 Hom. Od. XVII 218 (τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον) cf. Arist. l.l. Leutsch - Schneidewin ad Greg. Cypr. I 15 ἀεὶ κολοιὸς πρὸς κολοιὸν : καί· Ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς πρὸς ὁμοῖον = CPG I 350,18s. 309s. Xenoph. an. I 1,8 313 Eur. fr. 812,9 N². ex Aeschin. 1, 152s. sed vv. 7 - 9 plurimis seriorum aetatum grammaticis fuerunt in deliciis 321 cf. Suid. s.v. Λυκοῦργος, φιλίτια Eustath. 1413,23 321s. cf. Alex. fr. 291 K. ex Ath. XI 106b φιλοτησίαν σοι τήνδ᾽ ἐγὼ ... κύλικα προπίομαι Lucian. Hermot. 11 = I 341,22 Jac. 324s. cf. Plat. leg. 775d σπείρειν ... παράφορος ... ὁ μεθύων 325 τριταγωνιστής de Aeschine Dem. 18,209

304 inserui 306 ὑμῶν scripsi : ἡμῶν W 307 ὑμᾶς scripsi : ἡμᾶς W | οὐ Wpc a.m. οὐκ Wac ut vid. 308 θεομάχος Wc 309 περιπλήθουσαν W 311 ὑμῖν scripsi : (et in marg.) ἡμῖν W 319 οἵους scripsi : οἶους W 325 τρισαριστεῖς Wpc a.m. 308 θεομάχος Wc ὑπεραπιστεῖς Wac

στορα τῶν ἁγίων ἀποκαλεῖται καὶ τρισεπάρατον καὶ ψευδόχριστον. ὡς δ᾽ αὐτόχειρ τοῦ κακοῦ μετὰ μικρὸν ὁ κατήγορος ἐξελήλεγκτο, καὶ περὶ ψυχῆς ἐκινδύνευσεν, οὐ προὔδωκε τὸν ξυναριστέα τὸν ξύμμαχον, ἀλλά, καὶ ὑπὸ φρουρὰν ὄντα τὰ Συβαριτῶν ἐκαρύκευες· εἶτα καὶ τῶν δεσμῶν ὑπελύσω. ἀπὸ τούτων ἐγώ σε ξυνειδότος γραφόμενος, τοσούτοις | τεκμηριοῦμαι τὸ δύσθεον. ἄλλος ἄν σε καὶ μόνης τῆς πρὸς αὐτὸν ἑταιρίας ἐκρίνει, ἤρκει σοι πρὸς κατηγορίαν καὶ τὸ πρὶν εἰς ταῦτα ἐμπεσεῖν. φίλων τὸ δὲ καὶ προσιέναι σοι πρώτῳ καὶ μηνῦσαι δῆθεν, τοῦτο οὐ ξύμβολον ἐναργὲς τοῦ ξυνασεβῆσαι θείη τις; τὸ δὲ καὶ διιπτάσθαι, δικαίως κινδυνεύοντα περισώσασθαι, οὐκ εἰς ἔλεγχον τοῦ ξυνάρασθαι; σὺ καὶ τοῖς προτέροις ὑπεύθυνος καὶ τοῖς μέσοις ἔνοχος καὶ τοῖς τελευταίοις ὑπόδικος. εἰ μὴ τρυφᾶν ἐχαρίζου, καὶ καθει⟨ρ⟩γμένῳ μικρὸν ἄν σοι πρὸς ἀποφυγὴν ἐλείπετο· εἰ μὴ καὶ τῶν δεσμῶν ὑπελύσω, εἶχες ἄν τι καὶ πρὸς παραίτησιν. νῦν δ᾽, ἐπεὶ καὶ δεσμώτην περιεποιοῦ τὸν εἰκότως ἂν ἀπολούμενον, καὶ τῆς φρουρᾶς ὑπεξῆγες τὸν καὶ τῆς τῶν Τιτάνων φρουρᾶς ἄξιον, ἆρ᾽ ἐπ᾽ οὐ δικαίοις ἀγανακτῶ; ἆρ᾽ ἐπ᾽ οὐκ ἀξίοις εὐθύνω; σὺ δέ, εἰπέ μοι, οὐκ ἀπὸ τοιούτων ξυνειδότος ἐδίωκες πρὸ μικροῦ; νήφων μεθύων ἄνθρωπος; εἰς ἀσέβειαν ὅδ᾽ ὑπερφιλεῖ τοῦτον, τοῦ θαλεροῦ κρατῆρος ἄρα ἔσπασεν· ᾐκίζετό τις ἐκεῖνον, ὅδ᾽ οὐκ ἐπέτρεπεν· ὡς ξυναιρεσιώτην ἄρα περιεσώσατο. οὐ τοιαῦτα ἐπέραινες; καίτοι ἐκεῖνα μὲν οὐ τοσαύτην ὑπέφαινε τὴν ἐνάργειαν· ἐφ᾽ οἷς δ᾽ ἐγὼ τὸν ἀγῶνα ἐνεστησάμην, πολὺ τὸ φανερὸν καὶ πεπλανημένον οὐδέν, μόνον οὐχ ὑπορράπτουσι τὴν ἀλήθειαν.

20. Ὁρῶ μαστοὺς ὑπερβλύζοντας καὶ τὸ τετοκέναι τεκμαίρομαι, ὁρῶ καπνὸν ὑπεκθρώσκοντα καὶ τὸ πῦρ ὑποσημαίνομαι. οὐ δεῖ μοι προσεπιμαρτυρούντων ἀνδρῶν, ἐν οἷς καὶ βασκανίαν ἔχοι τις ἀντιθεῖναι καὶ μῖσος ὑφέρπον, οὓς καὶ προσδοκία κέρδους ἔσθ᾽ ὅτε παρήγαγε καὶ κοινωνία γένους παρεβιάζετο. ἀνυπόπτους ἀπαθεῖς παράγω τοὺς μάρτυρας· οὐκ οἶδε λέγειν πρὸς χάριν τὰ πράγματα, ἄτεγκτα πρὸς φιλίαν, πρὸς κέρδος ἀθώπευτα. εἰ δὲ φωνὰς ἐπιζητεῖς, τὰ ἔργα μεθείς, ὥρα σοι καὶ σκιᾶς ἐν δευτέρῳ τιθέναι τὸν ἥλιον. εἰ τοίνυν οὐ ξυμφωνεῖ τοῖς ἔργοις ἡ γλῶττα, τὰ τῆς μαρτυρίας οὐκ ἀπαράδεκτα — καὶ τί δεῖ ψόφου ῥημάτων ὀχλοῦντος καὶ γλώσσης ὑποκρεκούσης αἱμύλα; εἰ δὲ τῇ τῶν πραγμάτων ἁρμονίᾳ ξυνᾴ-

330 ἀποκαλεῖται : pass. impers. cum accus. cf. Niceph. Basil. in Adr. Comn. 13b = p. 39,10 Garzya (quem v. ad l.) 343s. cf. Eustath. Il. 985,52 ὁ κίναιδος καὶ πειόλης Τιτὰν σκωπτικῶς λέγονται Hesych. Τιτάν· ὁ παιδεραστής 352 Eur. Hec. 823 (ὑπερ-; cf. Hom. Od. I 58s.) 358 cf. Plat. Lach. 193e

330 καὶ Wc 333 ὄντα scripsi : ὄντι W 336 κατ****αν W | φίλων scripsi : φίλιον W 337 τοῦτο scripsi : ***το W 338 περισώσασθαι Wsl περισώζεσθαι Wl 340 inserui 343 τιτάνων Wpc τικάνων Wac 350 ὑπαρράπτουσι W 357 μεθει (sic) W 358 εἰ scripsi : ἔτι W 359 δεῖ scripsi : δὴ W

δει, ἐκτεμνέσθω ἡ τῆς γλώττης νευρὰ — τί γὰρ δεῖ περιττὸν ὑπηχούσης; ἄλλως τε καὶ παραπληξίας λαμπρᾶς ἐπὶ προδήλοις τοὺς ἐπιβεβαιωμένους ἀπαιτεῖν· ὡσεί τις, ὑπὸ τῆς ἀκτῖνος θαλπόμενος, διαπορέοι τὸν ἥλιον, εἰ τὴν ἄνω καὶ ὑπὲρ γῆν φέροιτο. εἰ γὰρ ὀφθαλμὸς οὐκ ἀκριβὴς τῶν τοιούτων ἐπόπτης, σχολῇ γ' ἂν ἀκοῇ τὸ πιστὸν δοίη τις. τί δ', εἰ μὴ παρεῖεν οἱ ξυνεργοῦντες; οὐδεὶς ὑπὸ δίκην ἐστήξεται. καὶ μήν, εἰ τὸ ἀμάρτυρον ἅπαν ἀνεύθυνον, τὸ ἐπὶ μάρτυσι ἅπαν ἁλώσιμον. ἴδοι δ' ἄν τις ὁσημέραι πολλοὺς τοὺς μέν, καὶ μὴ παρόντων μαρτύρων, ἐξ εἰκότων ἁλόντας, τοὺς δ' ἀποφυγόντας καὶ μετὰ μυρίους τοὺς ἐπιβοωμένους. ἠδίκησεν· εἴδομεν, ἔγνωμεν. τί οὖν ἐστιν ὃ λέγω; καὶ τὸ πᾶν τῆς δίκης τοῖς παραγομένοις τούτοις ὁ νόμος ἐπέτρεψεν, ἀλλ' εἰκόσι καὶ ξυμβόλοις ἐστιν οὗ τὸ πλέον ἐπίστευσε, καὶ γνώμονες ἀμφοῖν οἱ τῶν νόμων οὗτοι φύλακες. ἔνθα μὲν οὖν πολλῆς χειρὸς δεῖται τὸ ἀδίκημα· χαλεπὸν ἴσως, εἴ τις, μηδενὸς εἰπόντος, τοῦ ξυνεροῦντος πείσεται· ἐν οἷς δ' οὐχὶ τοὺς ξυλληψομένους ἐπιζητεῖ τὸ κακόν, ἀλλ' ὁ πρῶτος εἰς νοῦν λαβών, αὐτὸς καὶ ξυμπερᾶναι δυνήσεται.

21. Τίς λόγος τῶν ἐπιβοωμένων τούτων; ὥσπερ οὐκ ἐξὸν ἐν τοῖς τοιούτοις καὶ σκαιωρήσασθαι καθ' αὑτὸν καὶ λαθεῖν; ἡ τυραννὶς μέγα, καὶ δεῖται πολλῶν φίλων ξυμμάχων, πεζῶν ἱππέων ψιλῶν, ὁπλιτῶν σφενδονητῶν τοξοτῶν. οὐκοῦν ἐνταῦθα μέρος οὐ μικρὸν οἱ μάρτυρες, οὐδὲ τὸ τῆς προδοσίας δεῖ παραλιπεῖν ἔξω μαρτύρων· κἀκεῖ γὰρ ὁ προδιδοὺς εἰς λόγους ἦλθε τοῖς ἐναντίοις, πότε καὶ ὅπως καὶ ὁπόσου τὴν πόλιν ἂν πρόηται, καὶ τοὺς ἁπάντων ὀφθαλμοὺς οὐκ ἂν ἔλαθεν, ἢ καὶ οὕτω τυχὸν ἑτέροις τὴν μελέτην ἐθάρρησε
300v *καὶ δι' ἐκείνων | τοὺς πολεμίους εἶδε καὶ τὸ ἀπόρρητον ἐξελάλησεν. ἂν δέ τις ἰατρὸς ὢν ὡς φαρμακεὺς τοῖς ἀνόμοις ὑπάγοιτο, καταγέλαστος ἀξιῶν καὶ τίς ὁ δοὺς καὶ πότε καὶ ὁποῖον τὸ φάρμακον· ταχὺ γὰρ ἀντακούσεται· 'σύ γε ἰατρὸς ὢν καὶ ὅτε τὴν ὑγείαν ἐπηγγέλ⟨λ⟩ου, καὶ ἦν τὸ μὲν δοκεῖν ἀλεξίκακον τὸ δ' ἀληθὲς δηλητήριον'. πάλιν ἄν τις ὡς ἀλαζὼν καὶ γόης εὐθύνοιτο, οὐκ ἂν ἔχοι λέγειν 'καὶ πηνίκα ἐπῇδον καὶ τί †διετεθρευσάμην† καὶ τίς ὁ ξυνίστωρ;'. ἀρκεῖ γὰρ αὐτὸς πρὸς τὴν κακοτεχνίαν. ἡ χεὶρ τὰς ἐπιρρήτους ὑπανελίξει δέλτους καὶ ἡ γλῶττα ὑποψιθυρίσει καὶ προσεπᾴσει, καὶ ὁ δαίμων ὑπακούσεται. κατὰ ταῦτα καὶ ἱερεύς, εἴ τῳ τῶν ἀμφὶ τῶν ἱερῶν ἐπιβουλεύσειεν, οὐ προσαπαιτήσει τὸν ξυνειδότα· καὶ γὰρ ἥ τε χεὶρ ἐπ' αὐτῷ ἦν, καὶ τὸ ἀνάθημα προὔκειτο. τοιοῦτον καὶ τοῦτο δὴ τὸ σὸν ἦν σοι βουλομένῳ ἐλθεῖν ἐπὶ τὸν τολμητίαν ἐκεῖνον· παρὰ σοὶ γὰρ οἱ πόδες ἦσαν καὶ ἡ ὁδὸς οὐ μακρά τις*

394 *τολμητίαν* Agath. I 4,1 = 13,24 Keydell, quem locum laudat Suid. s.v. *τολμητίας*

363 *διαπορέοι* W^{1} *διαπορέῃ* W^{sl} 383 *πολεμίους* scripsi : *****εμίους* W 384 *ὑπάγοιτο* W prob. 386 inserui 387 *εὐθύνοιτο* scripsi : *εὐθύνοιντο* W 391 *τῶν ... τῶν ἱερῶν* scripsi : *τὸν ...τὸν ἱερὸν* W

οὐδ' ἀργαλέα καὶ πρὸς τὸ διανοηθὲν ὑπαγαγέσθαι· φιλία γὰρ ἐθώπευε καὶ τὸ πρὸς πάντα ἕτοιμον ἔπειθεν.

22. Ἀλλ' ἐνταῦθα τοῦ λόγου γενόμενος, ὦ ἄνδρες, μέγα τι καὶ ὡς ἐπὶ σχετλίοις ἀνέκραγεν· 'εἶτ' οὐδὲ φιλεῖν ἔξεστιν;' φιλεῖν μὲν ὁ νόμος ἀφῆκεν, ὦ θαυμάσιε, τὸν δ' ὅντιναοῦν οὐκ ἀφῆκεν ἀνέγκλητον. αὐτίκα εἴ τις φιλοίη τὸν ἐπὶ τῇ θρεψαμένῃ τὴν δεξιὰν ἐπ' ἀργύριον προτεινάμενον, τὸ φιλεῖν ἁπλῶς ἡ πόλις ἀφέντες, τὸ προδότας φιλεῖν ὡς προδοσίαν ἄντικρυς γράφονται. εἰ μειράκιον τὴν ὥραν προέμενον στέργει τις, οὗ τὸ διδόσθαι φιλεῖ, τῆς ἐπὶ κακῷ βίῳ γραφῆς αὐτὸν ἐξαιρήσεται. τὸ γάρ, οἷς ἕκαστος χαίρει, τούτοις καὶ ξυμμεταμορφάζεσθαι κολούει· τό, πρὸς οὓς ἂν τύχῃ, τῆς φιλίας ἐπαγωγόν, μόνον οὐκ ἐπαπειλούμενον, ὡς εἰ μὴ τὴν ψυχὴν ἀναπτύξεις, καὶ τὴν γνώμην κατοπτεύσεις. ὅρα μὴ τὴν ἑταιρίαν πήγνυσο. εἰ γὰρ οὐκ ἀγαθὸς ὢν ἐκεῖνος λήσεται, κινδυνεύσεις καὶ σὺ τὴν δόκησιν· οὐ γὰρ ἔστιν ὅ σε τὸ τοιοῦτον εἶναι δοκεῖν ἀπολύσεται. εἰ δὲ καὶ φιλία ψυχῶν ξυνανάκρασις, καὶ ὁ φιλῶν †ἕτερον† αὐτὸς ὁ φιλούμενος, πολλή τις ἀνάγκη μὴ τὰ πάντα ἐξωμοιῶσθαι. κἂν ἐκεῖνος ὢν τύχῃ 'τοῦ πονηροῦ κόμματος' ὑπόχαλκον, τί καὶ σὺ ξυνυπηχήσεις καὶ κίβδηλον; ταῦτ' ἄρα καὶ Πυθαγόρας μ ε λ α ν ο ύ ρ ω ν ἀπαγορεύει γ ε ύ ε σ θ α ι· ὃ ταὐτὸν ἂν εἴη καὶ φαύλων ὁμιλίαν προσίεσθαι. οὐ στενοχωρῶ σοι τὸ φίλιον, ἀλλ' ἐπέχω τὸ ὕποπτον· ὥσπερ καί, τὸ βαδίζειν διδούς, τὴν ἐπὶ τοὺς πολεμίους οὐ ξυγχωρῶ, καί, τὸ λέγειν ἐφιείς, τὸ δημοκοπεῖν οὐκ ἐφίημι. καίτοι κύριος τοῦ σώματος ἕκαστος, ἀλλὰ καὶ ἡμῖν αὐτοῖς ἔπεστι δεσπότης ἕτερος, νόμος καὶ λόγος, πολλῷ δή που κυριώτερος, ὃς καὶ γλῶτταν ὑβρίζουσαν 'ἅτε πῶλον ἀποπτυστῆρα χαλινῶν' καταρτύει, καὶ πόδας οὐκ ἐν καιρῷ στέλλοντας καταστέλλει, καὶ χεῖρας οὐκ εἰς καλὸν αἰρομένας ἐπέχει, μάστιγα τὴν ποινὴν ἐπισείων καὶ σωφρονίζων τῷ δέει, καὶ χαλινὸν αἱμάσσοντα τὸν δήμιον ἐπαγόμενος. στέργε μοι καὶ περίεπε τοὺς ἀνεπιλήπτους τὸν βίον, τοὺς ἀμείνους τὸν τρόπον, κατοικτίζου καὶ δεσμώτην, ἀλλὰ μὴ τὸν τηλικαῦτα πρὸς Θεὸν ἀφυβρίσαντα. ἐφεῖταί σοι κατὰ τοὺς ἀρχαίων νόμους καὶ δεσμῶν ἀπολύειν, ἀλλ' οὓς ἐπὶ μετρίοις τὸ δεσμωτήριον δέχεται.

23. Ὡς νῦν γε, μάτην ἐξαπατᾶν ἀποπειρᾷ καὶ μετάγεις τὴν αἰτίαν εἰς ἔλαιον· ἐξώρισταί σοι τῆς ψυχῆς τὸ καλὸν τοῦτο, ἐξῴκισται τὸ φιλάνθρωπον. οὐκ ἀγνοῶ σου τὸ φιλαπεχθῆμον, ἔξοιδα τὸ βαρύμηνον· κατὰ τὴν ἀπὸ Σκυθῶν Μήδειαν ἐσχημάτισταί σοι τὸ ἐπίχολον. ἀμετάθετος εἶ τὴν ἄμυναν καὶ |

406 *πήγνυσο* : an Plat. Phaed. 118a confer. (*πήγνυτο*)? 410 Ar. Plut. 862. 957 Suid. s.v. *πονηρὸν κόμμα* 411s. Pythag. fr. ex Plut. lib. ed. 2,12d 417 Opp. hal. II 11

399 *ὅντιναοῦν* scripsi : *ὁτιονοῦν* (sic) W 404s. *ἐπαγωγόν* W^{ac} *εὐαγωγόν* W^{pc} (et in marg.) 408 *δοκεῖν* W^{pc} *ἀποδοκεῖν* W^{ac} 412 *φαύλων* W^{pc} *φαῦλον* W^{ac} 416 *κυριώτερος* an *καιριώτερος* W primitus exhibuerit incert.

301 τιμωρὸς ἀπαραίτητος Φάλαρις τὴν ὠμότητα, Βόκχορις τὴν ἀπήνειαν, ἀγενὴς τὴν ψυχήν, [...] οὐ πρὸς τρόπου σοι φείδεσθαι. εἰ δέ πού σοι καὶ μικρὸν ὑπῆν οἴκτου, κάλλιον ἂν ᾠκτείρησας τὸν τὰ μέγιστα ἐπὶ μεγίστοις ἠτυχηκότα, τὸν πατέρα τὸν ποιμένα τὸν ἀρχιερέα, τὸν ὅσιον τὸν φιλόχριστον, εἶτα μετὰ βραχύ, σπιλάδος ὥσπερ ἀναρραγείς, τἀναντία πάντα καλούμενον καὶ προσεμπτυόμενον. σὺ δὲ καὶ προσεπεβούλευες, καὶ τοὺς ἐπικλωμένους δυσσεβεῖν ἀπεμάχου, καὶ πολὺς ἔρρεις ἐπ' ἐκκλησίας ἀπ' ἀγορᾶς ἐπὶ θεάτρου, πᾶσιν ἀράσσων κακοῖς, μηδενὸς φειδόμενος τῶν αἰσχίστων. ἐκεῖνον ἔδει κατοικτείρασθαι, καὶ ὁ λόγος ὅ τι μηδ' ἦν ἁμαρτάνων ἀσύγγνωστα. τί γὰρ ἀπεικὸς μὴ ξυνιδεῖν ἰσχύσαι τὴν ἐφ' οὕτω βαρυγνώμονος ψυχῆς ἐπηλυγαζομένην περὶ σέβας καινοτομίαν; τὸ δ' ὅτι μὴ τῷ λοιπῷ τῶν ἱερέων καταλόγων ξυνέστη καὶ ξυνέπνευσεν ἰδιοτροπίας καὶ ἤθους αὐθεκάστου καὶ γνώμης ἰσχυρογνώμονος. σὺ δὲ τοῦτον ἀφείς, τὸν καὶ Ταυροσκύθης ἂν ἀπεκλαύσατο, τὸν αὐτόχειρα τῆς τῶν μαρτύρων στηλοκοπίας, τὸν αὐτουργὸν τῆς περὶ τὸ θεῖον παροινίας, περιεποιοῦ κατηλέεις ἐψώμιζες ἔστεργες, ἔτι προσαπελύσω καὶ τῆς φρουρᾶς. τί δέ; καὶ τοσοῦτον ἐν ταὐτῷ καθειρ⟨γ⟩μένον ἐστίν, ὧν ἐπὶ πάνυ σμικροῖς τοῖς αἰτίοις. ἐπὶ τοῦτον μόνον ἔβλεψας ἵλεων; ἀλλ' ἐκεῖνος, ἐφ' οἷς ξυνείδεις, καθεῖρκτο· καὶ λύσασθαι τάχιον ἐδικαίωσας, ἵνα μὴ τὸ πᾶν ἀνακαλύψῃ δρᾶμα καὶ ὁ ποιητὴς εὐλόγως ὑπὲρ τὸν ὑποκριτὴν εὐθύνοιτο. τοῦτό σοι τἀληθὲς αἴτιον, ὅδ' οἶκτος ψευδὴς πρόφασις καὶ προσποίησις.

24. Ἐπεί, φέρε, εἰπέ μοι, πότερον ὡς ἀναίτιον ᾤκτειρας καὶ προσαπέλυσας, ἢ μέγα μὲν προσκεκρουκότα ᾔδεις; ὅμως δ' οὖν τί πρὸς αὐτὸν ἔπαθες; εἰ μὲν ὡς οὐχ ὑπαίτιον, οἴμοι, μάρτυρες, ὡς τὸ μηδὲν ἥκετε. εἰ τὸ ὑμῶν ἄτιμον οὐδ' ὑπεύθυνον θήσομεν, εἰ δὲ τοῦτο μηδ' ὑπογρύζειν τολμῶν ἄκων ἥκει ἐπὶ τὸ δεύτερον, τίνα τὴν ἐξουσίαν προβεβλημένος, ποίαν τὴν ἰσχὺν ἔχων καὶ ἐπὶ τίσι θαρρῶν; Ἱππίας ἂν ταῦτα εἰργάσατο, Κριτίας ἂν ταῦτα ἐτόλμησε. μὴ σύ γ' Ἰθάκης ἀγχιάλου βασιλεύσειας μηδὲ προσταίης ἀρχιερωσύνης — εἰς ἄθεϊαν γὰρ τὰ πάντα μεταπεσεῖται — μηδὲ νόμων ἐπιστατήσειας — τὸ γὰρ δίκαιον ἀπολεῖται — μηδ' ἀρχὴν ἑτέραν ἄξειας — τυραννὶς γὰρ καὶ ἡ ἀρχὴ ἔσται — μηδ' ἀμύνασθαί τινα δυνηθείης — καὶ αὐτοῦ γὰρ ἂν ὠμοῦ τοῦ ἥπατος γεύσαιο. εἶτ' ἐπὶ τούτοις οἶκτον προβάλλει. σύ γε οἶκτον, ἄνθρωπος μιαρὸς ἀλαζὼν κέντρων, ἔχιδνα Ἐριννὺς ἀμάλακτος ἀδυσώπητος, πέτρα μελανοκάρδιος; 'ἀλλ' εἰ ξυνῄδειν — φησὶ — ἑτέρως ἂν ἐμηχανησάμην αὐτῷ τὴν ἐλευθερίαν, ὑπῆλθον ἂν οὐκ ὀλίγους τῶν τοιαῦτα

459 Ar. nub. 449s. 460 Ar. ran. 470

429 καὶ periitne? 430 ὠκτι*** W 435 πᾶσιν W^{pras} ἅπασιν W^{aras} 443 inserui | ὧν W : ὅσον fort. scrib. 450 ὑπ' αἰτίος W fere 458 γεύσαιο W^{1} prob. γεύσειας W^{sl} prob. | προβάλλει W^{sl} προβάλλῃ W^{1}

δυναμένων, ἐξελιπάρησα ἐδυσώπησα. περιῆν γὰρ ταὐτὸν λελύσθαι κἀμὲ τῆς ἀπονοίας προσαπηλλάχθαι'. καὶ τίς ἕτερος οὕτω γεννάδας, ὡς καὶ κατὰ νόμων ἀνδρίσασθαι καὶ μήτε Θεοῦ ὄπιν μήτ' ἀνθρώπων νέμεσιν ὑπιδέσθαι; ἔπειτα οὐδὲ τοῦτό σοι πάντῃ ἀνύποπτον. ᾧ γὰρ τὴν καλὴν ταύτην, ἣν προτείνῃ, δυσώπησιν ἐπῆγες, ἴσως ἀπεβδελύξατο καὶ πάλιν, ἧς ἂν ξυνειδότος κρινόμενος, ἕτερον ὅτι τέλεον ἀπηνυθαδιάζων. εἰ γὰρ ἔστι μηδὲν τὸ ἀντίξουν ὑπολιπέσθαι, τόν τε γὰρ προὔχοντα τῆς ἐκκλησίας, ὡς ὁ τοῦ μύθου †πατεραλοιαειθὸς† τὸν πατέρα, κατεταρτάρωσας, καὶ τοὺς λοιποὺς οὓς μὲν ὡς Γίγαντας Τιτᾶνας συνεξωστράκισας, οὓς δ' ὡς Προμηθέας ἀνεσκολόπισας· τὸ δ' ἄλλο τοῦ βήματος ἐς δορυφόρα ξυνέταττες καὶ φοβερὸν|
301v ἐστρόβεις, τὸν τοῦ θυμοῦ κεραυνὸν βαρὺν ἐνσείων, εἴ πού τις ὑπογρύξειεν.

25. Εἰ δ' οὐκ ἀνάγκη καὶ ξυνειδέναι τὸν κυψάμενον, ἀλλ' ἕτερόν τι πάθος ἐπὶ ψυχῆς ἴσχειν τὸ βιασάμενον πολλή τις ἀνάγκη. τοῦτο δεῖξον καὶ πείθομαι. οἶκτον ὁ λόγος οὐ δέχεται, ἀναίτιον εἶναι τἀληθὲς οὐκ ἀνέχεται. τί οὖν λοιπόν, εἰ μήτε σὺ πρὸς ἀτυχίαν οἶδας μαλάσσεσθαι μήτ' ἐκεῖνος τὸ τὰ μέγιστα ἐξαμαρτεῖν πέφευγε, ἢ πάντως τὸ συνεξαμαρτεῖν ἕπεται; οἷς δ' ἐκοινώνεις τοῦ βδελυροῦ τρόπου, καὶ τοὺς δεσμοὺς ὑπετέμου καὶ ξυνυπετέμου καὶ τοὺς ἐλέγχους. οἷον τοῦτο ὑμῖν τετόλμηται, ὦ κατάρατοι! οὐ χρυσὸν τοῖς μάρτυσιν ἐσυλήσατε, οὐκ εἰς ἄργυρον τὴν ζημίαν περιεστήσατε, κατὰ πρόσωπον τὰς ὕβρεις ἠράσσετε καὶ χρῶμά τι ἀπείσιον ἐσυφίσασθε. πρὶν ἢ τὰ ὅσια καταχρᾶναι, τὰς ὑμετέρας ψυχὰς εἰς ἄθεϊαν ἐβάψατε. οὐδὲν ἡ τῶν κειμένων ὕβρις, μικρὸν ἡ τῶν ἱερέων ὑφαίρεσις· οὐδενὶ τῶν ἁπάντων ὑπερβολὴν κακίας καταλελοίπατε. ἤδη τις καὶ στηλοκοπεῖν τοὺς μάρτυρας ἐπεχείρησεν, ἀλλ' εἰς ἑαυτὸν ἀνέφερε τὸ δυσσέβημα· ὑμεῖς δὲ τὴν μὲν ἀσέβειαν ἐτολμήσατε, τὴν δὲ τῆς ἀσεβείας δόκησιν ἐπὶ τὴν τῶν ἀρχιερέων ἐτρέψατε κορυφήν, ἐπὶ τὸν ποιμένα, ἐπὶ τὸν πατέρα καὶ ὃν οὐκ ἔστιν ὅστις οὐκ ἐσεβάσατο. οὐκ ᾐδέσθητε πολιὰν εὐσεβείας σύντροφον, οὐκ ἐδυσωπήθητε τὴν δεξιάν, οὐ τὸν λοιπὸν ἀρχιερέων σύλλογον ηὐλαβήθητε, ἀλλ' ἀφ' ἑνὸς τούτου πικρὰν θεομαχίας δόξαν ἁπάντων κατεσκεδάσατε. εἰ δ' ἐκεῖνον καὶ ψῆφος ἀρχιερέων ἀπώσατο, ἀλλ' οὐκ ἐπὶ τοιούτοις οὐδ' ὡς οὕτω τοῖς ἱεροῖς λυμηνάμενον. εἶτ' οὐκ ἀρκεῖ σοι τὸ πτῶμα θεραπεῦσαι τὸν φθόνον; ἢ τί καὶ κειμένῳ προσεπεμβαίνεις, τί καὶ

464 ἀνδρίζω de eunucho dict. ap. Philostr. vit. Ap. 37 | cf. Hes. op. 187 468s. cf. Hes. th. 717ss. 470s. cf. Lucian Prom. 7 = I 65,31s. Jac. Peregr. 11s. = III 274, 22ss. 471s. cf. Septuag. Iob 9,34 472 cf. Soph. Trach. 1087s.

471 δορυφόρημα fort. scrib. 472 ἐ****βεις W 477 μαλάσσεσθαι W^{c} prob. 479 in ἐκοινώνεις litera ο W^{c} | ὑπετέμου scripsi (cum W^{m}) : ὑπετρέμου W^{t} 480 ὑμῖν scripsi : ἡμῖν W 487 κορυφὴν W^{sl} a.m. κεφαλὴν W^{1} 490 θεομαχίας scripsi : θεομαχίαν W

τὸ τραῦμα προσαναξαίνεις; σβέσον τὴν κάμινον τοῦ θυμοῦ, στῆσον τοὺς τῶν ὕβρεων ὀχετούς, ἔα τὸ δύσφημον, ἐφ' ᾧ κἄν τις τῶν ἐπιεικεστέρων ἀνεκαλύψατο. σὺ δ' εἰ μὴ καὶ προσεπιθήσεις τὸν κολοφῶνα τῶν ἀτοπημάτων, οὐκ ἀνεκτὸν ἡ γῆ καὶ προσεπιμηχανᾷ τὰ παλαμναιότατα.

26. Διελυμήνασθε τοῖς μάρτυσι τοὺς πίνακας, ὦ κακαὶ κεφαλαί, τοῖς ἀθληταῖς τὰς γραφὰς διεγράψατε, τοὺς τῆς ἐκκλησίας ἀριστέας περιυβρίσατε. οὐ Κυνέγειρος οὐ Καλλίμαχος ἡμῖν οἱ τρισαριστεῖς, οὐ Μαραθὼν οὐδὲ Σαλαμὶς τὰ τούτων τρόπαια· ἀλλ' ἄνδρες καὶ θνητὰ μὲν οἱ πολλοὶ στρατευσάμενοι, πρὸς δὲ τὴν τῆς φύσεως ἀνάγκην πάντες ἀνθοπλισάμενοι καὶ δυσμενεῖς ἀθανάτους καὶ πολεμίους οὐχ ὁρωμένους καταπαλαίσαντες. οὗτος ὁ κατάλογος τοῖς μὲν σώμασιν ἀπεῖπον, ταῖς δὲ γνώμαις ἑστήκεσαν. ἡ φάλα⟨γ⟩ξ αὕτη, καὶ πίπτοντες ἀνῄρουν καὶ βαλλόμενοι κατετίτρωσκον. τοῦτο τὸ στράτευμα καὶ μυριόπληκτον καὶ νεκρὸν τοῖς τραύμασιν ἵστατο πολλῷ κάλλιον ἤπερ Καλλίμαχος. οὗτος ὁ λόγος οὐ μιᾶς ὁλκάδος, ἀλλὰ ξυμπάσης οἰκουμένης, ὅλοις ἱστίοις εἰς τὴν τῆς ἀσεβείας φερομένης θάλατταν ἐπεδράττετο. κἂν ὁ δήμιος αὐτῷ τὰς χεῖρας ἐθέρισεν, ἀλλ' οἶδε καὶ τὴν κεφαλὴν προσετίθεσαν· κἄν τις καὶ τοὺς ὀδόντας αὐτοὺς ἐξώρυττεν, ὁ τῆς ἀντιθέτου μοίρας στρατάρχης Σατὰν ἐπὶ πλέον ἐδάκνετο. ὅλον τὸ σῶμα τοῖς ἐμοῖς ἀριστεῦσι καλλίνικον. ὀφθαλμοὶ τυφλώμενοι κατέστραπτον τοὺς ἐχθρούς, ἀποτεμνούμεναι γλῶσσαι κατεβρόντων ἐπὶ πλέον τοὺς δυσμενεῖς, ἐχειροῦντο καὶ χεῖρες τοὺς ἀντιθέτους καὶ μετὰ τὴν τομήν, ξυνεπόδιζον καὶ πόδες ξυντριβόμενοι τοὺς ἀλάστορας.

27. Ἐπὶ τοιούτους καλλινίκους ὑμεῖς κακοὶ κακῶς ἐστρατεύσατε, ἐπὶ τοιούτους τυραννοκτόνους χεῖρας ἀνοσίους ὑμεῖς ἤρασθε. Μήδους ἐδουλώ-
302 σαντο, | Πέρσας ὑπηγάγοντο, Ἕλληνας ἐπεστόμισαν καὶ Σκύθαις παρέλυσαν τὰς τῆς εὐπιστίας νευράς, καὶ διὰ πάντων ὁ τύραννος δαίμων ἔπιπτε, τῶν μὲν ἀθλητῶν ὑπὸ θερμῷ τῷ λύθρῳ παραβαπτιζόντων, τῶν δ' ἁλισκομένων ἀναίμακτα. ὡς ἄρα καὶ βαρβάρων ὑμεῖς ἀγριώτεροι καὶ δαιμόνων ἀναισχυντότεροι! ὢ πικροῦ μέλιτος! μυρίῳ σμήνει μαρτύρων τὴν τῶν ὕβρεων ἀψινθίαν ἐπιμορφώσαντο. ὢ γνώμης ἀγνώμονος, ἣ τοῖς σωτῆρσιν ἐπεβούλευσε τὰ ἀτιμότατα! ὢ χειρὸς ἀναισχύντου καὶ βδελυρᾶς, ἣ βουλὴν οὕτως ἄβο⟨υ⟩λον εἰς ἔργον ἐξήνεγκεν! οὐχ ὑπέπτηξεν οὐκ ἐνάρκησε κατὰ τρισαριστέων κατὰ

496 Plat. Euthyd. 301e Greg. Cypr. II 86 = CPG I 366,5 500 cf. Herod. VI 114 508 cf. prov. *πλήρεσιν ἱστίοις* Philostr. vit. soph. I 25,5 512s. cf. Them. or. 27,337d = p. 407,10s. Dind.

500 *κυναίγειρος* W 504 inserui 508 *ἱστίοις* scripsi : *ἑστίοις* W 510 *ὀδόντας* : forsitan *ὀφθαλμοὺς* scribere voluerit. cf. Septuag. iud. 16,21 (*ἐξορύσσω*), infra 512 520 *πα***τιζόντων* W 523 *ἐπεβούλευσε* W^{pc} *ἐπεβουλεύσετε* W^{ac} 524 inserui

τυραννοκτόνων ὁπλισαμένη. ἥ που καὶ τῆς νοητῆς ἥψατο κιβωτοῦ καὶ τὸ δικαιότερον ἂν ἔπιπτεν ἤπερ εἰ τῆς παλαιᾶς καὶ σκιώδους ἐκείνης δραξάμενος· ἀλλ' εἶχεν ἔμφυτον τὸ φιλάνθρωπον καὶ μήτηρ οὖσα τοῦ φιλανθρωποτάτου Θεοῦ χειρὸς ὑβριζούσης ἐφείσατο· τάχα τοὺς ἀλιτηρίους ὑμῖν ἐφύλαξεν, ἵνα τὸν ζῆλον ἐπιδείξησθε καὶ θεατρίσητε τὸ κακόν, καὶ μὴ πάντα ἐκείνῳ τῷ μηδὲν αἰτίῳ προσεπιγράφοισθε.

28. Οὕτως ἀποκεκόψεται τὸ θεομάχιον τῆς πόλεως, οὕτως περιέσται τοῖς μάρτυσι τὸ ἀνύβριστον, τῆς προνοίας μὲν οὐκ ἐώσης τοὺς ψευδοχρίστους λαχεῖν, ὑμῶν δὲ καταψηφιζομένων μετὰ τὸ μαθεῖν.

ANTONIO GARZYA

526 *κιβωτὸς* : B. V. Maria scil. ut saepius

527 *εἰ* scripsi : *ἡ* W fere 529 *ὑμῖν* scripsi : *ἡμῖν* W

ΘΕΟΔΩΡΟΥ Β΄ ΛΑΣΚΑΡΕΩΣ
ΑΝΕΚΔΟΤΟΝ ΕΓΚΩΜΙΟΝ
ΠΡΟΣ ΤΟΝ ΓΕΩΡΓΙΟΝ ΑΚΡΟΠΟΛΙΤΗΝ

Πατρὸς μνημόσυνον

Ὁ αὐτοκράτωρ τῆς Νικαίας Θεόδωρος Β΄ Λάσκαρις καταλαμβάνει μίαν ὅλως ἐξέχουσαν θέσιν εἰς τὴν ἱστορίαν καὶ τὰ γράμματα τοῦ Βυζαντίου [1]. Υἱὸς τοῦ Ἰωάννου Γ΄ Βατάτζη (1222 - 1254) γεννηθείς, ὡς λέγεται, τὴν ἡμέραν τῆς ἀνόδου τοῦ πατρός του εἰς τὸν θρόνον [2], ἀνετράφη ἐντὸς περιβάλλοντος χαμηλοῦ μὲν ἀπὸ ἠθικῆς ἀπόψεως ὑψηλοῦ δὲ ἀπὸ πνευματικῆς. Ἐν Νικαίᾳ ἔζων κατ᾽ ἐκείνην τὴν ἐποχὴν περίφημοι ἄνδρες [3], οἱ ὁποῖοι ἐτέθησαν εἰς τὴν διάθεσιν τοῦ νεαροῦ διαδόχου. Ὁ Νικηφόρος Βλεμμίδης καὶ ὁ Γεώργιος Ἀκροπολίτης ἐπεμελήθησαν τῆς παιδείας τοῦ Θεοδώρου ὅστις, μολονότι ἀσθενικῆς κράσεως, ἐδείκνυεν ἐξαίρετον ζῆλον πρὸς τὰ γράμματα. Ἡ μόρφωσίς του, χριστιανικὴ καὶ φιλοσοφική, ἐνεποίει ἐντύπωσιν. Ἀντικαθιστῶν ἐκ νεαρᾶς ἡλικίας, πιθανῶς ἀπὸ τὸ 1261 [4], τὸν ἐκστρατεύοντα πατέρα του ὑπεχρεώθη, ἐκ τῶν πραγμάτων, νὰ ἀσχοληθῇ καὶ μὲ τὰς κρατικὰς ὑποθέσεις.

Διαδεχθεὶς τὸ 1254 τὸν Ἰωάννην Γ΄ Βατάτζην καὶ βασιλεύσας μόνον ἐπὶ τέσσαρα ἔτη ταχέως ἐνεπλάκη εἰς ἐξωτερικὰς καὶ ἐσωτερικὰς ἀνωμαλίας καὶ ταραχάς. Ἐπολέμησε πρῶτον ἐναντίον τῶν Βουλγάρων καὶ ἐν συνεχείᾳ

1. Βλ. περὶ τοῦ ἀνδρός: G. Moravcsik, Byzantinoturcica, Berlin 1958², τ. I, σσ. 521 - 522, Ν. Β. Τωμαδάκη, Σύλλαβος βυζαντινῶν μελετῶν καὶ κειμένων, Ἀθῆναι 1961, σσ. 468 - 475 ἔνθα καὶ ἡ σχετικὴ βιβλιογραφία· πρόσθες καὶ τὸ πρόσφατον μελέτημα τοῦ Ch. Astruc, La tradition manuscrite des oeuvres oratoires profanes de Théodore II Lascaris, Travaux et Mémoires, 1 (1965), σσ. 393 - 404 ἔνθα ἐπίσης καὶ ἡ βιβλιογραφία.

2. Νικηφόρου Γρηγορᾶ, Ἱστορία (Bonn), I, $51,_{1-4}$, Γεωργίου Ἀκροπολίτου, Χρονικὴ συγγραφὴ (A. Heisenberg), I, $104,_{22-23}$.

3. Ὁ Γρηγόριος ὁ Κύπριος λέγει χαρακτηριστικῶς, Αὐτοβιογραφία, (W. Lameere), $179,_{26-28}$: «...εἰς τὰς ἐν Νικαίᾳ διατριβὰς ὅπου καὶ λόγος ἐκράτει γενομένῳ τινὶ αὐτὰς ἐξεῖναι δοκεῖν, τὰς γ᾽ ἐς σοφῶν ἀνδρῶν ἀφθονίαν, τὰς παλαιὰς Ἀθήνας ὁρᾶν».

4. Βλ. V. Grumel, La chronologie, Paris 1958, σ. 359. [Traité d'études Byzantines, I].

ἐναντίον τοῦ δεσπότου τῆς Ἠπείρου Μιχαὴλ Β΄. Μεγαλυτέραν ὅμως ἐντύπωσιν προξενοῦν αἱ ἐπιδιώξεις του ἐπὶ τῆς ἐν γένει ἐσωτερικῆς διαρθρώσεως τῆς αὐτοκρατορίας. Ὁ Θεόδωρος ἐπεδίωκεν, ἀπερίσπαστος ἐπιρροῶν, νὰ μειώσῃ τὴν δύναμιν τῶν ἰσχυρῶν ἀτόμων τοῦ περιβάλλοντός του, νὰ δημιουργήσῃ συγκεντρωτικὸν κράτος καὶ νὰ ἀφοσιωθῇ, ἐλεύθερος πλέον, εἰς τὴν ἐξυπηρέτησιν τοῦ κοινωνικοῦ συνόλου [1]. Ἐπακόλουθον ἦτο νὰ προκαλέσῃ δυσαρεσκείας καὶ ἀντιδράσεις [2]. Κατατρυχόμενος ὑπὸ νόσου καὶ συκοφαντούμενος ὑπὸ πολλῶν, ᾐσθάνετο δυστυχής. Σὺν τοῖς ἄλλοις ἐβασανίζετο διὰ τὴν τύχην τοῦ ἀνηλίκου υἱοῦ του καὶ διαδόχου Ἰωάννου. Τὰ γεγονότα δὲν τὸν διέψευσαν. Ἀποθανὼν ὁ Θεόδωρος κατ᾽ Αὔγουστον 1258 ἀφῆκεν ἐπίτροπον τοῦ ἀνηλίκου διαδόχου τὸν ἔμπιστον φίλον του Γεώργιον Μουζάλωνα [3]. Οὗτος ὅμως ἐδολοφονήθη μετ᾽ ὀλίγον, κατόπιν συνωμοσίας τοῦ Μιχαὴλ Παλαιολόγου, εἰς τὸν ὁποῖον ἐν συνεχείᾳ περιῆλθεν ἡ ἐξουσία [4]. Ὁ Μιχαήλ, ὀλίγον μετὰ τὴν θριαμβευτικὴν ἐπάνοδον εἰς Κωνσταντινούπολιν, 15 Αὐγούστου 1261, διέταξε νὰ φονεύσουν τὸν νεαρὸν καὶ ἤδη τυφλωθέντα κατόπιν διαταγῆς του Ἰωάννην [5].

Πρὸς τὸν διδάσκαλόν του Γεώργιον Ἀκροπολίτην ἀπευθύνεται καὶ τὸ κατωτέρω ἐκδιδόμενον ἐγκώμιον τοῦ Θεοδώρου Λασκάρεως [6] γραφὲν τὸ

1. Βλ. Α. Ε. Βακαλοπούλου, Ἱστορία τοῦ Νέου Ἑλληνισμοῦ, τ. Α΄, Θεσσαλονίκη 1961, σσ. 71 - 72.

2. Πρβλ. Γεώργιον Παχυμέρην, Ἱστορία (Bonn), I, $37,_{11}$ - $38,_{8}$ προσέτι Γ. Ἀκροπολίτην, I, $123,_{1}$ - $124,_{24}$· πρβλ. καὶ J. B. Pappadopoulos, Théodore II Lascaris, Paris 1908, σ. 79 καὶ σ. 81.

3. Βλ. περὶ αὐτοῦ: R. Guilland, Fonctions et dignités des Eunuques, II. Le Protovestiaire, Études Byzantines, II (1944), σσ. 213 - 214 [=Recherches sur les institutions byzantines, τ. I, Berlin 1967, σσ. 223 - 224].

4. Βλ. σχετικῶς: D. J. Geanakoplos, Emperor Michael Palaeologus and the West, Cambridge Mass. 1959, σσ. 33 - 46.

5. Τὴν 25ην Δεκεμβρίου 1261· Γ. Παχυμέρης, I, $191,_{13}$ - $192,_{19}$ καὶ Ν. Γρηγορᾶς, I, $93,_{6-8}$ καὶ $173,_{5-20}$.

6. Περαιτέρω συντομογραφεῖται ἁπλῶς ὡς Ἐγκώμιον. Ὁ Θεόδωρος Λάσκαρις ἔχει γράψει πολλὰ ἐγκώμια ἐκ τῶν ὁποίων τὰ πλεῖστα παραμένουν εἰσέτι ἀνέκδοτα. Πλῆρες μέχρι σήμερον εἶχεν ἐκδοθῇ μόνον τὸ ἐγκώμιον *«εἰς τὴν μεγαλόπολιν Νίκαιαν»* (ὑπὸ L. Bachmann, Theodori Ducae Lascaris imperatoris in laudem Nicaeae urbis oratio, Rostock 1847). Ἀπόσπασμα τοῦ ἐγκωμίου *«...εἰς τὸν πατέρα αὐτοῦ τὸν αὐτὸν ὑψηλότατον βασιλέα κυρὸν Ἰωάννην τὸν Δούκαν»* ἐδημοσίευσεν ὁ F. Uspenskij, O rukopisjach istorii Nikity Akominata v parijžkoj nacion. bibl., Žurnal Ministerstva Narodnogo Prosveščenija, 194 (1877), σ. 76· τοῦ αὐτοῦ ἐγκωμίου ἀνάλυσις παρέχεται ὑπὸ τῆς M. A. Andreeva, A propos de l'éloge de l'empereur Jean III Batatjès par son fils Théodore II Lascaris, Annales de l'Institut Kondakov, 10 (1938), σσ. 133 - 144. Βλ. ἐπίσης J. B. Pappadopoulos, ἔνθ᾽ ἀν., σσ. IX - X ὅπου καὶ κατάλογος τῶν ἔργων τοῦ Λασκάρεως ἐκδεδομένων καὶ ἀνεκδότων, Ν. Β. Τωμαδάκη, ἔνθ᾽ ἀν., σσ. 471 - 473, τέλος δὲ καὶ Ch. Astruc, ἔνθ᾽ ἀν., σ. 393, σημ. 1 καὶ 394.

1252 [1]. Περὶ τοῦ σκοποῦ καὶ τῆς ἐν γένει συντάξεως τοῦ ἐγκωμίου θὰ διαλάβωμεν ἐκτενῶς κατωτέρω.

ΓΕΓΟΝΟΤΑ ΚΑΙ ΧΡΟΝΙΚΗ ΤΟΠΟΘΕΤΗΣΙΣ. Ὁ Γεώργιος Ἀκροπολίτης ἐγεννήθη ἐν Κωνσταντινουπόλει τὸ 1217 [2] ἐκ γονέων εὐγενῶν [3]. Περατώσας εἰς γενέτειραν τὰς ἐγκυκλίους σπουδὰς [4] ἀπεστάλη ὑπὸ τοῦ πατρός του τὸ 1233 εἰς Νίκαιαν εἰς τὴν αὐλὴν τοῦ βασιλέως Ἰωάννου Γ′ Βατάτζη ὅπου καὶ ἐγένετο εὐμενέστατα δεκτὸς [5]. Ὁ βασιλεὺς ἐκτιμήσας ταχέως τὴν ἀξίαν του ἀνέθεσε τὴν ἐκπαίδευσίν του ὁμοῦ μετ' ἄλλων τεσσάρων νέων εἰς τὸν Θεόδωρον Ἑξαπτέρυγον [6]. Τούτου δ' ἀποθανόντος (ca. 1237) τὴν διδασκαλίαν τῶν πέντε αὐτῶν νέων ἀνέλαβεν ὁ Νικηφόρος Βλεμμίδης *«τῶν ἄλλων τελεώτερος ἐν ταῖς κατὰ φιλοσοφίαν ἐπιστήμαις»* κατὰ τὴν ἔκφρασιν τοῦ Ἀκροπολίτου [7]. Ὁ μετέπειτα αὐτοκράτωρ Θεόδωρος Β′ Λάσκαρις ἐγένετο μαθητὴς τοῦ Βλεμμίδου τὸ 1240, ἤτοι εἰς ἡλικίαν 18 ἐτῶν [8]. Ἄμεσον ἐπακόλουθον τῆς μαθητείας τοῦ Θεοδώρου πλησίον τοῦ Βλεμμίδου ἦτο ἡ γνωριμία του μετὰ τοῦ Ἀκροπολίτου· οἱ δύο ἄνδρες συνεδέθησαν ταχέως διὰ θερμοτάτης φιλίας [9].

Τὸ 1246 ὁ Ἀκροπολίτης ἔλαβε τὸ ἀξίωμα τοῦ λογοθέτου τοῦ γενικοῦ [10] καὶ ἔκτοτε ἠκολούθει συχνάκις τὸν βασιλέα Ἰωάννην εἰς τὰς ἐκστρατείας του συντάσσων, κατὰ παλαιὰν συνήθειαν, τὰς ἐπιστολὰς δι' ὧν ὁ αὐτοκράτωρ ἐγνωστοποίει εἰς τὸν λαὸν τῆς πρωτευούσης τὰς νίκας του εἰς τὰς μάχας, ἀναλαμβάνων διπλωματικὰς ἀποστολὰς κλπ. [11]. Τὸ αὐτὸ ἔτος ἀνέλαβε τὴν

---

1. Βλ. κατωτέρω σ. 107.
2. Βλ. τὰ προλεγόμενα τοῦ A. Heisenberg εἰς τὴν ὑπ' αὐτοῦ ἔκδοσιν τοῦ Γ. Ἀκροπολίτου, II, σ. IV, σημ. 2· πρβλ. καὶ Ἐγκώμιον, 98 - 99.
3. Γ. Ἀκροπολίτης I, 46,12· πρβλ. καὶ Ἐγκώμιον, 97 - 98.
4. Γ. Ἀκροπολίτης, I, 46,14.
5. Γ. Ἀκροπολίτης, I, 46,13 κ.ἑξ.
6. Τὸ 1234· πρβλ. Γ. Ἀκροπολίτην, I, 49,23 καὶ 49,8· Ἐγκώμιον, 135 - 139, Νικηφόρον Βλεμμίδην, Διήγησις μερικὴ (A. Heisenberg), 29,8-11 καὶ προλεγόμενα σσ. XII - XIII.
7. Χρονικὴ συγγραφή, I, 50,5.
8. Γ. Ἀκροπολίτης, I, 106,17, Ν. Βλεμμίδης, 38,5 κ.ἑξ.· πρβλ. J. Dräseke, Theodoros Laskaris, BZ, 3 (1894), σ. 498 κ.ἑξ.
9. Τεκμήρια τῆς φιλίας αὐτῆς ἀποτελοῦν αἱ 42 ἐπιστολαὶ ἃς ἀπηύθυνεν ὁ Θεόδωρος πρὸς τὸν Ἀκροπολίτην. Ἐξ αὐτῶν 41 ἐξεδόθησαν ὑπὸ N. Festa, Theodori Ducae Lascaris epistulae CCXVII, Firenze 1898, σσ. 67 - 116 (XLIX - LXXXIX) μία δὲ παραμένει εἰσέτι ἀνέκδοτος (Βλ. Ch. Astruc, ἔνθ' ἀν., σ. 397).
10. Προγενεστέρως εἶχε λάβει τὸ ἀξίωμα τοῦ μεγάλου λογαριαστοῦ, Γ. Ἀκροπολίτης, II, 3.
11. Γ. Ἀκροπολίτης, I, 79,1, 91,1-4· βλ. Fr. Dölger - J. Karayannopulos, Byzantinische Urkundenlehre, τ. I, Die Kaiserurkunden, München 1968, σ. 64.

διδασκαλίαν τοῦ ἐπιστηθίου φίλου του καὶ διαδόχου Θεοδώρου ἀντικαταστήσας τὸν Βλεμμίδην [1]. Ἡ διδασκαλία αὕτη, διακοπτομένη ἑκάστοτε λόγῳ τῶν πολλῶν ἁρμοδιοτήτων τοῦ Ἀκροπολίτου, διήρκεσε περὶ τὰ πέντε ἔτη καὶ ἀπέβη ἐπωφελὴς καὶ καρποφόρος εἰς τὸν μέλλοντα βασιλέα [2].

Ἀρχομένου τοῦ 1252 ὁ Ἀκροπολίτης ἐξέδωκε τὰς ἐπιστολὰς τοῦ μαθητοῦ του Θεοδώρου [3]. Τῆς ἐκδόσεως αὐτῆς προέταξεν ἔμμετρον πρόλογον ἐξ 63 τριμέτρων [4] ὑμνητικώτατον πρὸς τὸν Λάσκαριν [5]. Ἡ ἔκδοσις αὕτη ἐνεθουσίασε τόσον τὸν Λάσκαριν ὥστε, ὡς εὐστόχως συνεπέρανε ὁ Heisenberg [6], ἔγραψε τὸ κατωτέρω ἐκδιδόμενον ἐγκώμιον πρὸς τὸν Ἀκροπολίτην [7]. Ἐκ τῶν ἀνωτέρω συνάγεται ὡς ἔτος συγγραφῆς τοῦ ἐγκωμίου τὸ 1252.

ΣΚΟΠΟΣ ΣΥΓΓΡΑΦΗΣ. Ὁ Θεόδωρος Λάσκαρις ἔγραψε τὸ περὶ οὗ ὁ λόγος ἐγκώμιον διὰ νὰ ἐξάρῃ τὴν προσωπικότητα καὶ τὸ κῦρος τοῦ διδασκάλου του. Ἀφορμὴ ἦτο, ὡς σχετικῶς ἐτονίσθη, ἡ ὑπὸ τοῦ Ἀκροπολίτου ἔκδοσις τῶν ἐπιστολῶν του. Ἐπ' εὐκαιρίᾳ λοιπὸν τῆς ἐκφράσεως εὐχαριστιῶν διὰ τὴν ἔκδοσιν αὐτήν, κρίνει σκόπιμον νὰ ἀναφερθῇ ἐν ἐκτάσει εἰς τὰ τῆς διδασκαλίας του. Αἱ παρεχόμεναι εἰδήσεις διαφωτίζουν ἡμᾶς πλήρως περὶ

---

1. Ἐγκώμιον, 160 - 161.
2. Αὐτόθι 176 - 177· πρβλ. καὶ 163 - 164.
3. Ὁ K. Krumbacher (Geschichte der byzantinischen Litteratur², München 1897, σ. 287, Ἑλληνικὴ μετάφρασις, ὑπὸ Γ. Σωτηριάδου, τ. Α′, Ἀθῆναι 1900, σ. 580) λέγει ἁπλῶς ὅτι ἡ ἔκδοσις τοῦ corpus αὐτοῦ τῶν ἐπιστολῶν τοῦ Λασκάρεως ἐγένετο τὸ 1252. Ὁ A. Heisenberg (Προλεγόμενα..., ὡς ἀνωτ., σ. VIII) δέχεται τὸ ἔτος 1252 ὡς terminus ante quem τὸ δὲ 1246 ὡς terminus post quem. Ἐν τούτοις ὁ αὐτὸς Heisenberg τονίζει ὅτι ὁ Ἀκροπολίτης ἠκολούθησε τὸν βασιλέα Ἰωάννην εἰς τὴν ἐκστρατείαν του ἐναντίον τοῦ δεσπότου Μιχαὴλ Β′ ἀπὸ τοῦ Μαρτίου 1252. (A. Heisenberg, ἔνθ' ἀν.· Γ. Ἀκροπολίτης, I, 92,3 κ.ἑξ.) Ἑπομένως ἡ ὡς πρὸς τὸ 1252 χρονολόγησις τῆς ἐκδόσεως περιορίζεται μόνον εἰς τοὺς δύο πρώτους μῆνας τοῦ ἔτους αὐτοῦ. Πιθανώτατα ὁ Ἀκροπολίτης ἡτοίμασε τὴν ἔκδοσιν τῶν ἐπιστολῶν τοῦ Λασκάρεως τὰ τέλη τοῦ 1251, ὡλοκλήρωσε δὲ αὐτὴν κατὰ τὰς ἀρχὰς τοῦ 1252, ὅτε καὶ θὰ ἔγραψε τὸν ἔμμετρον πρόλογον. Μετὰ τὴν περάτωσιν τῆς ἐκδόσεως θὰ ἀνεχώρησε πρὸς συνάντησιν τοῦ βασιλέως Ἰωάννου. Σημεῖα τινὰ τοῦ ἐγκωμίου βοηθοῦν εἰς τὴν ἐμπέδωσιν τῶν ἀνωτέρω· 267 κ.ἑξ.: *«Καιρὸς προέβη καὶ ὁ διδάσκαλος μὲν ἐδίδασκεν...»*. Ἀναφορὰ εἰς τὸ μετὰ τὸ 1246 διάστημα. 295 - 296: *«Διήλθομεν οὖν οὐκ ἐν ἀκαριαίῳ καιρῷ τὰ μαθήματα ἀλλὰ χρόνῳ πολλῷ...»*. Τὸ *«διήλθομεν»* ὑποδηλοῖ ὅτι ἡ διδασκαλία τοῦ Θεοδώρου εἶχε πλέον περατωθῆ κατόπιν μεγάλου χρονικοῦ διαστήματος *(χρόνῳ πολλῷ)*, τουλάχιστον πενταετίας, ὡς δὲ τὰ πράγματα δεικνύουν, ὁ Ἀκροπολίτης ὡς εἰς ἐπιστέγασμα τῆς διδασκαλίας του, προέβη εἰς τὴν ἔκδοσιν τῶν ἐπιστολῶν τοῦ μαθητοῦ του.
4. Ἔκδοσις τοῦ προλόγου ὑπὸ A. Heisenberg, Γ. Ἀκροπολίτης, II, 7 - 9.
5. Πρβλ. ὡρισμένα σημεῖα τοῦ προλόγου στ. 4 - 6, 33 - 35, 57 - 58, 62 - 63.
6. A. Heisenberg. Προλεγόμενα, ὡς ἀνωτ., σ. XVII.
7. Ἡ ἐπιρροὴ τοῦ ἐμμέτρου προλόγου τοῦ Ἀκροπολίτου εἶναι καταφανὴς εἰς ὡρισμένα σημεῖα τοῦ ἐγκωμίου· πρβλ. Ἐγκώμιον, 4 - 5, 39, 185 - 186.

τῆς φήμης ἧς ἀπέλαυεν ὁ Ἀκροπολίτης κατ' ἐκείνην τὴν ἐποχήν. Τονίζεται ὁ ἐνθουσιασμὸς τῶν μαθητῶν του ἐκ τῆς διδασκαλίας του (31 - 34), ἡ ἀπέραντος μόρφωσίς του (39), ἡ ρητορικὴ του δεινότης (184 - 187), ἡ μεγάλη ὑπεροχή του ἔναντι τῶν συγχρόνων του λογίων (191 - 194), ὁ σεβασμὸς καὶ ἡ ὀφειλομένη εἰς αὐτὸν εὐγνωμοσύνη (216 - 219). Ὁ Θεόδωρος γνώστης τῶν κανόνων συγγραφῆς ἐγκωμίου, ὡς ὁ ἴδιος δηλοῖ [1], ἔγραψεν ἓν τῶν καλυτέρων δειγμάτων τοῦ εἴδους παρὰ τὴν ἐπιτήδευσιν τῆς ρητορικότητος καὶ τὴν μέχρις ἴσως ὑπερβολῆς γλωσσικὴν καθαρότητα τοῦ κειμένου [2].

ΧΕΙΡΟΓΡΑΦΟΣ ΠΑΡΑΔΟΣΙΣ. Τὸ κείμενον παρέχεται ὑπὸ τεσσάρων κωδίκων ὡς ἑξῆς :

1. **Parisinus suppl. grec 472** (A), ff. 42^{v} - 53^{v} τοῦ ιγ' αἰῶνος [3]· τὰ περιλαμβάνοντα τὸ ἐγκώμιον φύλλα ἐσημειώθησαν καὶ εἰς τὴν παρασελίδιον ἀρίθμησιν.

2. **Parisinus gr. 3048** (B), ff. 43^{r} - 47^{r} [4]· ὁ κῶδιξ τοῦ ιε' αἰῶνος ἔργον τοῦ γνωστοῦ κωδικογράφου Μιχαὴλ Σουλιάρδου [5]. Ἡ ἀντιγραφή του ἐπερατώθη τὴν 27ην Ἰουνίου 1486 [6].

1. Ἐ γ κ ώ μ ι ο ν, 91 - 92 : *«Εἰ δὲ καὶ πρωθύστερον τὸ κεφάλαιον τοῦτο γέγραπται καὶ οὐ καθὼς ἀπαιτεῖ τὸ ἐγκώμιον...»*. πρβλ. καὶ L. R o b e r t, Les Kondakia de Nicée, le combustible de Synnada et les poissons - scies. Sur des lettres d'un métropolite de Phrygie au Xe siècle, Philologie et réalités, Journal des Savants, Juillet-Décembre (1961), σσ. 151 - 164, ὅπου καὶ σχετικαὶ πληροφορίαι περὶ τῶν κανόνων συγγραφῆς ἐγκωμίων.

2. Σημειοῦμεν τὰς δύο ἀθησαυρίστους λέξεις τοῦ κειμένου : στ. 14 *εὐφραδμοσύνη*, στ. 175 *εὐτυπώτως*. Εἶναι ἐμφανὴς εἴς τινα σημεῖα τοῦ ἐγκωμίου ἡ ἐπιρροὴ τοῦ πρώτου διδασκάλου τοῦ Λασκάρεως, τοῦ Νικηφόρου Βλεμμίδου· πρβλ. 63 - 95, 92 - 93. Πρόκειται περὶ τοῦ ἔργου τοῦ Βλεμμίδου «Ἀνδριὰς βασιλικός», τὸ ὁποῖον οὗτος προσεφώνησεν πρὸς τὸν Θεόδωρον, συντεταγμένου εἰς γλῶσσαν λίαν ἐξεζητημένην καὶ ἀσαφῆ. Τοῦ ἔργου αὐτοῦ τοῦ Βλεμμίδου ἐκτενὴς ἀνάλυσις παρέχεται ὑπὸ E. B a r k e r, Social and Political Thought in Byzantium, Oxford 1957, σσ. 151 - 159.

3. Περιγραφὴ τοῦ κώδικος ὑπὸ H. O m o n t, Inventaire sommaire des manuscrits grecs de la bibliothèque Nationale, τ. III, Paris 1888, σ. 266· βλ. καὶ J. B. P a p p a d o p o u l o s, ἔνθ' ἀν., σσ. X - XI § IV.

4. Περιγραφὴ ὑπὸ H. O m o n t, ἔνθ' ἀν., σσ. 99 - 100 καὶ J. B. P a p p a d o p o u l o s, ἔνθ' ἀν., σ. X, § III. Βλ. καὶ C h. A s t r u c, ἔνθ' ἀν., σ. 394, σημ. 6.

5. Βλ. περὶ αὐτοῦ : M. V o g e l - V. G a r d t h a u s e n, Die griechischen Schreiber des Mittelalters und der Renaissance, Leipzig 1909, σ. 318, Σ. Λ ά μ π ρ ο υ, Ναυπλιακὸν ἔγγραφον τοῦ οἴκου Πουλομάτη ἐν ἔτει 1509 καὶ ὁ βιβλιογράφος Μιχαὴλ Σουλιάρδος, Ν. Ἑλληνομνήμων, Ϛ' (1909), σσ. 273 - 283, E. L o b e l, The Greek Manuscripts of Aristotle's Poetics, Oxford 1933, σ. 54, Χ. Γ. Π α τ ρ ι ν έ λ η, Ἕλληνες κωδικογράφοι τῶν χρόνων τῆς Ἀναγεννήσεως, ΕΜΑ, 8/9 (1958 - 59), σσ. 108 - 109.

6. Τοῦτο δηλοῦται ὑπὸ τοῦ ἰδίου τοῦ Σουλιάρδου ἐν τῷ τέλει τοῦ κώδικος : *«Θεοῦ τὸ δῶρον καὶ πόνος Μιχαήλου | Σουλιάρδου, σπεύδοντος ποτὲ παιδείαν | Καὶ μαθήσει*

3. **Parisinus suppl. grec 37** (C), ff. 26^{r} - 30^{r} τοῦ ιϛ' αἰῶνος [1]· ὁ κῶδιξ αὐτὸς ἐθεωρεῖτο μέχρι σήμερον ὡς ἔργον τοῦ γνωστοῦ κωδικογράφου Κωνσταντίνου Παλαιόκαππα. Τὸ ἐσφαλμένον τῆς ἐκδοχῆς αὐτῆς ἀπέδειξεν ὁ Ch. Astruc [2].

4. **Scorialensis Y - I - 4** (S), ff. 257^{r} - 260^{r} ἐπίσης τοῦ ιϛ' αἰῶνος [3].

Ὡς βάσις τῆς ἐκδόσεως ἐλήφθη ὁ κῶδιξ Parisinus suppl. grec 472. Ὁ Ch. Astruc προτείνει ὅπως διὰ τὴν ἔκδοσιν τῶν ὑπὸ τῶν ἀνωτέρω τεσσάρων κωδίκων παραδεδομένων ἔργων τοῦ Θεοδώρου Β' Λασκάρεως ληφθῇ ὁ Parisinus gr. 3048 ὡς πληρέστερος τῶν λοιπῶν [4]. Ὁ κῶδιξ Parisinus suppl. grec 472 ἀκολουθεῖ εἰς σπουδαιότητα, ἂν καὶ ἔδει νὰ προηγῆται, διότι ἔχει πολλὰ κενά [5]. Ἡ ὑπόδειξις αὕτη δὲν ἠκολουθήθη ἐνταῦθα διὰ δύο λόγους : πρῶτον· ὁ Parisinus suppl. grec 472 παραδίδει πλῆρες, ἄνευ οὐδενὸς χάσματος, τὸ ἐγκώμιον· καὶ δεύτερον· ὁ αὐτὸς κῶδιξ παρέχει πολλάκις καλυτέρας γραφὰς ἔναντι τοῦ Parisinus gr. 3048 [6], παραλείποντος, σημειωτέον, λέξεις [7] καὶ εἴς τινα σημεῖα [8], ὁλοκλήρους φράσεις αἵτινες ὑπάρχουν καὶ εἰς τοὺς ἑτέρους τρεῖς κώδικας, ἐν γένει δὲ προσφέρει τὸ πληρέστερον κείμενον.

ἔκδοτον φιλοσοφίας. | Ὑπάρχω τοιγαροῦν ἐκ χώρας τῶν Ναυπλίων, | Χειρὶ γραφηθεῖσα δὲ ἡ παροῦσα νῦν βίβλος, | Τῷ ,ϛϡϟδ' ἔτει, ἰνδ. δ', μηνὸς Ἰουνίου κζ', ἡμέρᾳ τρίτῃ, | Τοῦ ὁσίου πατρὸς ἡμῶν Σαμψὼν τοῦ ξενοδόχου». (H. O m o n t, Les manuscrits grecs datés des XVe et XVIe siècles de la Bibliothèque Nationale et des autres bibliothèques de France, Paris 1892, σ. 26). Βλ. προσέτι τὴν εὔστοχον παρατήρησιν τοῦ C h. A s t r u c, ἔνθ' ἀν., σ. 396.

1. Περιγραφὴ ὑπὸ H. O m o n t, Inventaire sommaire..., ὡς ἀνωτ., σ. 207· βλ. καὶ J. B. P a p p a d o p o u l o s, ἔνθ' ἀν., σσ. X - XI, § IV.

2. C h. A s t r u c, La tradition..., ὡς ἀνωτ., σ. 402.

3. Πρώτη ἀτελεστάτη περιγραφὴ τοῦ κώδικος αὐτοῦ ὑπὸ E. M i l l e r, Catalogue des manuscrits grecs de la Bibliothèque de l'Escurial, Paris 1858, σσ. 184 - 185. Προσφάτως ὁ κῶδιξ περιεγράφη πληρέστατα ὑπὸ Ν. Π α ν α γ ι ω τ ά κ η, Λέων ὁ διάκονος, Ἀθῆναι 1965, σσ. 85 - 92 καὶ ὑπὸ G r. d e A n d r é s, Catálogo de los códices griegos de la Real Biblioteca de El Escorial, τ. II, Madrid 1965, σσ. 83 - 86.

4. C h. A s t r u c, ἔνθ' ἀν., σ. 404.

5. Αὐτόθι, σ. 400.

6. Πρβλ. Ἐ γ κ ώ μ ι ο ν, 5, 44 - 45, 98, 173, 186, 204.

7. Αὐτόθι, 9, 24.

8. Αὐτόθι, 66, 107 - 108.

PARISINUS SUPPL. GREC 472

(f. 42v) **Τοῦ αὐτοῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως κυροῦ Ἰωάννου τοῦ Δούκα ἐγκώμιον εἰς τὸν μέγαν φιλόσοφον κυρὸν Γεώργιον τὸν Ἀκροπολίτην.**

Πάντας μὲν ἄλλους δεῖ θαυμάζειν τοῖς λεγομένοις καὶ ὑπερεξαίρειν σου τὰ νοήματα καὶ ὑπεράγασθαί σου τὴν οἰκονομίαν καὶ τὸ κάλλος | (f. 43r) τῶν λόγων ὡς μεγαλύνειν, ὦ φιλτάτη μοι κεφαλή, τὸ μὲν διὰ τὴν φράσιν τε καὶ τὴν καλλιέπειαν τὸ δὲ διὰ τὸ ὑψηλὸν αὐτῶν καὶ πυκνὸν τὸ δὲ διὰ τὴν πρόθεσιν τὴν ὀρθήν, ἣν κέκτηται πρός με ἀγαθὰ φρονοῦντα καὶ καλά. Ἐμὲ δὲ μηδὲν δεῖ τι καινὸν δοξάζειν αὐτῶν οἰκειωθέντα τοῖς οἰκείοις τῶν λόγων σου θησαυροῖς· οὐκ ἂν γὰρ ἄλλως, εἰς ἃ περὶ ἐμὲ γέγραφας, εἰσῆξα τὸν νοῦν, εἰμὴ πρότερον ἐξ ἐκείνων ἤντλησα τὰ νοήματα.

Πολλαχῶς γὰρ διαιρουμένου τοῦ λόγου καὶ διὰ τῆς ἐπιστήμης διαφόρως τεχνουργουμένου συνάγεται αὖθις καὶ πάλιν εἰς μίαν ἀρχὴν τὴν φιλόσοφον, ἧς οἱ ποταμοὶ παμπληθεῖς ἐκρέουσιν ἐκ τῆς γλώττης σου εὐφραδμοσύνην καὶ γλυκασμὸν τοῖς εὖ φρονοῦσι παρέχοντες. Καὶ κατὰ τὸν | (f. 43v) θειότατον Πλάτωνα ἡ φιλόσοφος διελοῦσα διὰ τῆς ἐπιστήμης διαίρεσις τὰ ἀντιδιαιρούμενα τῇ τεχνολογίᾳ πάλιν συνῆξεν εἰς ἑαυτὴν ὡς εἰς ἀρχὴν καὶ πηγὴν οὐκ ἰσότητι ὁμοιώσεως ἀλλ' ἐξουσιότητι κυριώσεως. Οὕτως γοῦν διαιρούμενος ὁ λόγος παρὰ τῆς ἐπιστήμης τε καὶ ἑνούμενος ὡς εἴσπερ τινὰ κρατῆρα χρυσοῦν ἐξεκενώθη πλουσίως εἰς σὴν ψυχήν, ἄνθρωπε· καθαρωτάτην καί γε ταύτην εὑρὼν

---

9 - 10 cf. II Ch. 8,15   15 - 18 Pl. Sph. 252b

A titulus altera manu   2 *κυρίου* C   3 *κυρὸν* AB : *κύριον* C om. S   5 *ὑπεράγασαι* B   7 *καὶ* post *δὲ* add. B   9 *σου* om. B   20 *τὴν σὴν* S

---

4 - 5. *Πάντας μὲν ἄλλους... τὰ νοήματα* : Πρβλ. τὸν ἔμμετρον πρόλογον ὃν προέταξεν ὁ Γ. Ἀκροπολίτης εἰς τὴν ὑπ' αὐτοῦ ἔκδοσιν τῶν ἐπιστολῶν τοῦ Θ. Λασκάρεως (βλ. ἀνωτ., σ. 107) II, 8,33-34 : *«Πάντας δὲ σεμνοὺς ὡς ὑπεξῃρημένους | Νοήμασι σχήμασι λοιπαῖς ἰδέαις»*.

15 - 18. Ἡ ὑπὸ τοῦ Θ. Λασκάρεως γνῶσις πλατωνικῶν κειμένων ἔχει τονισθῆ ὑπὸ τοῦ J. B. Pappadopoulos, ἔνθ' ἀν., σ. 18· πρβλ. καὶ M. Andreeva, Očerki po kul'ture vizantijskogo dvora v XVIII v., Πράγα 1927, σ. 163.

καὶ ῥύπου ἀμιγῆ τέλεον, ἧς τὰς ἐκ λόγου καὶ διαλόγου ἐκβλύσεις, ἄλλους μὲν ἀνθρώπων τοὺς κρείττονας εἰς θαῦμα φέρειν δεῖ πρὸς ἄλλους ἐξ ἄλλων αὐτὰς διαφημίζοντάς τε καὶ πέμποντας, ἐμὲ δὲ τέρπεσθαι μόνον τὸν οἰκεῖον ὁρῶντα ἐπαινούμενον καὶ ὅτι περὶ τοῦ ἐμοῦ ἀγαθοῦ διδασκάλου οἱ λόγοι τῶν εὐφη|(f. 44r)μιῶν πρὸς ὕψος αἴρονται. Σύνθεσις γὰρ καὶ διαίρεσις ἀγαθὰ τὰ ἀμφότερα ἀρίστως διότι τεχνολογοῦνται παρὰ τῆς ἐπιστήμης ὁμοῦ· καὶ ὁ ἐπιστήμων ἐμὸς διδάσκαλος καὶ τὸ συντιθέμενον περὶ ἐμοῦ γράμμα αὐτοῦ καὶ τὸ διαιρούμενον ἐγκωμίων ἐμῶν ὑπόθεσις καὶ τὰ ἄμφω περὶ ἐμοῦ τοῦ μηδενὸς ὄντως εἰς τὸ καλὸν συνῆλθε τῷ λόγῳ. Καὶ γὰρ ἡ σχέσις καὶ τῇ σχέσει συνέδραμεν ἡ ἐπίτασις, αὖθις τε ταύτῃ ἡ γλυκύτης τοῦ λόγου συνεπεισέρρευσε· καὶ ἐγκωμιάζουσιν οἱ λόγοι τὸν λογογράφον καὶ τὸν αὐτοῦ ἐκείνων γεννήτορα νοῦν. Τίς γε ἆρα ἀκροώμενος τούτων οὐ γάννυται, οὐκ ἐνθουσιᾷ, οὐκ εἰς ὕψος πτεροκροτῶν αἴρεται ταῖς φρεσὶ καὶ ἀεροβατεῖ διὰ τὴν ἰσχὺν τῆς τοῦ λόγου γλυκύτητος; Οὕτως | (f. 44v) γοῦν οἱ πάντες οἶμαι τούτων ἀκροώμενοι πάσχουσι πάθη ἀγαθὰ καὶ καλὰ καὶ μακαριστοὶ εἰσί τε καὶ νομίζονται, ὥσπερ λυπρᾶς οἱ μὴ αὐτῶν ἀκηκοότες ἐκ τοῦ ἐναντίου τύχης εἰσὶ καὶ ὑπάρχουσι. Ἀλλ' εἴπερ καὶ τῆς γλυκύτητος τῶν λόγων τις ἀποστῇ καὶ τὴν οἰκονομίαν ἐθέλῃ ἀνερευνᾶν, ὥστε θαυμάζειν ἢ κολάζειν καταλλήλως, ὅπερ καὶ εἰς ταύτην εὕρῃ, προχωρήσει οἶδ' ὅτι πρὸς ἄβυσσον ἐπιστήμης καὶ πρὸς ἄσχετον γνώσεως.

Τοιαύτη γὰρ ἡ τοῦ ἐμοῦ διδασκάλου πολύκρουνος τῶν λόγων ῥοή, διειδεστάτη καὶ ἀμιγὴς ἀθόλωτός τε καὶ δαψιλής, ἀέναος ὁμοῦ τε καὶ ἀνεπίμεικτος καὶ εἰς γῆν προελθοῦσα καρποφορεῖ καὶ ἐπὶ τὰς ἀκάνθας ἀναβλαστάνει καὶ ἐπ' ἐμοὶ τῷ ξηρῷ καὶ ἀνίκμῳ λίθῳ εἰσρεύσασα ἤντλησεν, ἅπερ ἐκκεκένωκε | (f. 45r) πρότερον καὶ ἐξ αὐτῶν ἐγκωμίων περὶ ἐμοῦ πανήγυριν ἔστησε. Δᾳδουχοῦσι τοίνυν λόγοι διδασκάλου τὸν φοιτητὴν καὶ τὸν ἐσβεσμένον τῆς αὐτοῦ γνώσεως λύχνον ἀνάπτουσι φωτοχυσίαις ταῖς λογικαῖς. Θαυμαστὴ καὶ γὰρ καθέστηκεν ἡ πανήγυρις, καινοτρόπως τε ὁμοῦ καὶ ξενακούστως ἐγκωμιάζεται ὁ ἐγκωμιάζων, ὅτι νόμους ἐγκωμίων οἱ λόγοι τούτου καταβεβλήκασιν, ὅπερ μὴ δόξῃ καινὸν μηδὲ τοῖς ἀνεπιστημόνως ξένον τὰς βίβλους ἀναγινώσκουσι· καίτοι γε Ἀχιλλέα καὶ Ἀγαμέμνονα καὶ τούς, οὓς ἡ Ἰλιὰς διαλαμβάνει, Ὅμηρος ἐξυμνῶν ὑμνεῖται μᾶλλον ἢ ἐκείνους ὑμνεῖ. Ὥσπερ γὰρ ἐν λειμῶνι τίς τινι μὴ ἐλθὼν τρυφᾷ δέ, εἰ καὶ πόρρω τῶν τούτου καρπῶν, ἐξ ὧν συνιέναι δύναται, οἵων φυτῶν εἰσὶν οἱ καρποί, οὕτω καὶ τὴν | (f. 45v) ὁμηρικήν τις

---

24 *ἀγαθοῦ* om. B   34 *οὖν* C   *τούτων* ABC : *πάντων* S   41 *τε*² supra lineam A   44 *ἔστησεν* B   49 *μὴ δὲ* C

---

39. *οἶδ' ὅτι... γνώσεως* : Πρβλ. τὸν ἔμμετρον πρόλογον τοῦ Γ. Ἀκροπολίτου, II, 7,3 : *«Καὶ γνώσεως ἄβυσσον οὐ μετρουμένην»*.

διερχόμενος ποίησιν γνῶναί γε ἂν εἴη, εἰ βουλητὸν αὐτῷ, τὸν ταύτης γεννήτορα.

Ἔχει μὲν γὰρ οὕτως ταῦτα καὶ καθὼς εἴρηται. Τίς δ' ἂν διὰ τούτους τοὺς λόγους, οὓς γέγραφα, οὐχ ὅτι γέγραφα ἀλλ' ὅτι φύσει τὸ ἀληθὲς ἔχουσιν ἐκ τῶν λόγων τοῦ πρός με ἐπαίνου, οὓς λεοντιδὴς ψυχὴ ἐξηρεύξατο, οὐ νοήσει, οἷον ἐστὶ μῆκος καὶ πλάτος καὶ βάθος τῆς ἐρευξαμένης αὐτούς· οἷος γάρ ἐστιν ὁ νοῦς, ὁ λύχνος αὐτῆς, ἀκολούθως καὶ αὕτη ἐστὶ καὶ οἱ λόγοι οἱ παρεπομένως ἐκρέοντες. Τὸ παροιμιῶδες ἤδη διὰ ταῦτα βοῶ, ἐκ τοῦ κρασπέδου τις γιγνώσκει τὸ ὕφασμα. Πότερον οὖν διὰ ταῦτα ἐρῶ καὶ τὸ δαυϊτικὸν ῥητὸν παρῳδῶν, εἰ καὶ ἀληθὴς τοῖς πολλοῖς ἢ τούτου δόξει παρῴδησις· ἀνέβη καὶ γὰρ ὁ ἐμὸς f. 46r δι|δάσκαλος εἰς ὕψος θεῖον καὶ ἄπειρον καὶ πλειστάκις αἰχμαλωτίσας σοφίας αἰχμαλωσίαν δέδωκε δόματα ἐγκωμίων καλλίστων τοῖς ἀνθρώποις τοῖς δεξαμένοις τὸν λόγον αὐτοῦ, οἳ οὐκ ἐξ αἱμάτων οὐδὲ ἐκ θελήματός τινων οὐδὲ ἐκ θελήματος σαρκὸς ἀλλ' ἐκ τοῦ Θεοῦ καὶ τῆς αὐτοῦ διδαχῆς εἰς τὸ τῆς φιλοσοφίας ἀνηνέχθησαν ὕψος καὶ ἀξίους ἐγκωμίων αὐτοὺς ἐποίησαν. Πρὸς ταῦτα γοῦν, τίς ἆρα ἐρεῖ αἰχμαλωτίσαι ἐκ τοῦ διδασκάλου τὸν λόγον ἢ ἆραι τὴν διδαχὴν ἐκ τοῦ φοιτητοῦ, τοῦ μὲν ἐγκωμιαζομένου τοῦ δέ γε κατὰ χάριν ἐγκωμιάζοντος; Οὐκ ἔστι τις ὁ αἰχμαλωτεύσων· ἀπέστη γὰρ ὁ ὀλοθρευτής, ἐπειδὴ ἄγγελος Κυρίου ἡμῶν προΐσταται. Ἐρωτῶν δέ τις, τίς ὁ ἄγγελος, εἰρήσθω ἡ φιλοσοφία ἐστί, τὸ κάλλιστον χρῆμα, ὁ οὐράνιος θησαυρός, f. 46v | ὁ κοινὸς πλοῦτος ἐξ οὗ πλουτοῦσι καὶ οἱ μὴ γινώσκοντες ὕλης πλούσιοι, εἰ τέως τε οὐ γινώσκουσι κρῖμα συνιστῶντες πρὸς ἑαυτοὺς δι' αὐτὸ καὶ τοὺς φύσει νοεῖν ἐθέλοντας τυφλώττοντες τὸ καλόν. Τυφλὸς γὰρ ὁ πλοῦτος τῷ

63 - 66 Ps. 67,19 cf. Eph. 4,8   66 - 67 Jno. 1,13   72 cf. I Co. 10,10   76 - 77 Ar. Pl. 90

61 βοῶν C   63 καὶ supra lineam A   66 οἳ scripsi : οἱ codd. οὐδὲ ἐκ θελήματός τινων om. B   67 τοῦ supra limeam A αὐτοῦ ABS   69 ἆραι ABC : ἆρα S   70 τοῦ post ἐκ erasum S   74 εἰ BS : οἱ AC

61 - 62. ἐκ τοῦ κρασπέδου τις γινώσκει τὸ ὕφασμα : Paroemiographi graeci (Leutsch - Schneidewin) II, 162, 66.

63 - 65. ἀνέβη καὶ γάρ... αἰχμαλωσίαν : Πρβλ. Ν. Βλεμμίδην, Ἀνδριὰς βασιλικὸς (K. Emminger), 10,13-14 : «Ἀνέβης εἰς ὕψος σωφροσύνης αἰχμαλωσίαν τῷ ἀγαθῷ αἰχμαλωτεύσας».

73 - 74. εἰρήσθω... πλοῦτος : Πρβλ. καὶ Ν. Βλεμμίδην, Ἀνδριὰς βασιλικός, 9,2-4 : «Τοιγαροῦν εἰ πάντων ἀνθρώπων ὑπερτερεῖ βασιλεύς, ἡ φιλοσοφία δὲ πασῶν ἐπιστημῶν ὁμοῦ καὶ τεχνῶν».

17 - 10 - 1968

κωμικῷ ἐδοξάσθη καθὼς ἀληθές· τυφλοῦται καὶ γὰρ ἡ κεχηνυῖα ψυχὴ πρὸς αὐτὸν καὶ πάσχει τοῦ παθήματος ἄξιον.

Πολύς μοί ἐστιν ὁ σκοπὸς νῦν, ἐπειδὴ δὴ ἐπαινεῖν ἠρξάμην τὸν λόγῳ πλούσιον, δέδοικα δὲ διὰ τοῦτο καὶ παρατήσασθαι βούλομαι μήπως, ἀτέχνως τεχνολογῶν καὶ πλοῦτον λόγου νομίζων ἔχειν, ὅμοιόν τι πάθω τυφλῷ ἔνθεν κἀκεῖθεν παρασυρεὶς κρημνῷ τε πέσω κακίας ἀτέχνως ὡς πορευόμενος ἐπὶ τρίβους οὐ λείας ἀλλὰ δυσχερεῖς καὶ ἀνεπιβάτους πολλοῖς τῷ τοί γε καὶ πελαγίζων ἐν γαλήνῃ καὶ f. 47r | νηνεμίᾳ καί γε κρεῖττον τοῦ λέγειν ἐν τῷ μὴ λέγειν διὰ τὴν σιωπὴν πορευόμενος ἐπ' ὄλεθρον φέρω τοῦ γέλωτος τὴν πενιχράν μου διάνοιαν. Ὅμως θαρσοποιεῖ με τὸ φίλτρον καὶ τείνει με κατὰ ψυχὴν τὸ κρυπτὸν κέντρον τῆς συνειδήσεως καὶ ἐλέγχει με ἡ ἀντιστροφὴ καὶ πάντα ἐξ ὧν ἔχω προσφέρειν με πείθουσι τὸ προαιρεῖσθαι καὶ μόνον αἴτιον προβαλλόμενα· διὰ τοῦτο κεφαλαιωδῶς τὸν λόγον ἀναρροήσας, ἐπαινῶ τοῦ διδασκάλου τοῦ καλοῦ κἀγαθοῦ μου τοὺς φύσαντας ἱλαρότητος παρὰ πάντας καὶ ταπεινώσεως μεστοὺς καὶ οἵους ὁ τούτων καρπὸς ἐκείνους ἀπέδειξεν. Εἰ δὲ καὶ πρωθύστερον τὸ κεφάλαιον γέγραπται καὶ οὐ καθὼς ἀπαιτεῖ τὸ ἐγκώμιον, μηδείς μου ἀτάκτως διὰ τοῦτο καταμωκήσαιτο, ὅτι οὐδὲ f. 47v ἀ|τεχνίας λόγος τοῦτο πεποίηκεν ἀλλὰ μέγεθος ἀληθείας καὶ φόβος ἀνεπιχειρήτου ἐπιχειρήματος· ταὐτὸν γάρ ἐστιν εἰπεῖν ἠνδραποδισμένον πρὸς ἀγῶνας φέρειν τινὰ καὶ ἐμὲ πρὸς τὴν καταρχὴν τὸν νοῦν συνεισάξαι τούτου δὴ τοῦ βουλεύματος.

Εὐγενὴς μὲν οὖν ὡς ἐκ τῆς ἀρετῆς τῶν πατέρων καὶ πολλῷ μείζων ἐκ τῆς πατρίδος· σιωπᾷ μου γὰρ τὸν λόγον καὶ ἡ τούτων πατρὶς ἡ Κωνσταντίνου καὶ βασιλίς, νῦν δὲ δούλη καὶ ὀνομαζομένη πολυμερῶς εἰς μέρη διαιρεθεῖσα τε καὶ ὀνομαζομένη ἐκ τῶν μερῶν. Ἔργα δὲ καὶ ἀγῶνες καὶ τὸ περὶ λόγους αὐτοῦ γενναῖον καὶ τὸ εἰς ἐπιστήμας ἐπιστημονικὸν καὶ τὸ πρὸς σύμπαντα λόγον ἀκέραιον καὶ ὅ τι θαρρῶ λέγειν τὸ εἰς τοὺς περὶ λόγον πάντας στέφος νικητικὸν ἀναστομοῦσι τὸν ἐμὸν f. 48r | λόγον καὶ ἀναρροοῦσι τὴν ἔκχυσιν· ἀπο-

77 τυφλοῦται e τυφλοῦτε scriba correxit A   79 πολὺ C   93 μοι S   97 μεῖζον C   98 γὰρ ACS : δὲ B   101 αὐτὸ C

81 - 83. ἔνθεν... οὐ λείας : Βλ. ἐπιστολὴν I (XLIX) τοῦ Θ. Λασκάρεως πρὸς τὸν Γ. Ἀκροπολίτην (N. Festa), 67 - 68,10-12 : «Ἵνα τί βαίνεις ἀτάκτως καὶ οὐ μεμάθηκας ἐν φιλοσοφίᾳ περιπατεῖν καὶ ἐν λόγῳ διατρίβειν τὰς τρίβους σου καὶ ἐν συνέσει διεξιέναι σου τὰς ὁδούς;».

89 - 91. ἐπαινῶ... ἀπέδειξεν : Γ. Ἀκροπολίτης, I, 49,21.

92 - 93. μηδείς...καταμωκήσαιτο : Ν. Βλεμμίδης, Ἀνδριὰς βασιλικός, 11,1-2 : «ὅπου γε καὶ ἀνθρώποις οὐκ ἄδηλα τὰ πολλὰ καὶ καταμωκῶνται καὶ διακωμῳδοῦσι».

97 - 99. Εὐγενὴς μὲν οὖν... δούλη : Πρβλ. Γ. Ἀκροπολίτην, I, 46,12.

στολικῶς ἐκβοήσω, ὡς λύχνος ἐν αὐχμηρῷ ἀπεφάνη τόπῳ ὁ λόγος αὐτοῦ καὶ δαυϊτικῶς μελῳδήσω διὰ λύρας μουσικώτερον λογικῆς ᾄδων, ὁ ποταμὸς τῆς συναγωγῆς τοῦ Θεοῦ ἐπληρώθη ὑδάτων τῶν λόγων αὐτοῦ. Τί γοῦν ταῦτά ἐστι καὶ τίς ἡ τόση συνίζησις τῶν χειλέων μου καὶ τίς ἡ βραδυτὴς τῶν λόγων μου καὶ τίς ἡ τῆς φωνῆς μου ἀνειμένη βοὴ καὶ τίνι τρόπῳ τὰ μεγάλα καὶ κατασταθμίζω λόγοις ἐν σμικροτάτοις καὶ τὰ ὑπὲρ φύσιν καὶ αὐτοφυῶς λάμποντα ὡς ἐν ὑέλῳ καὶ ἐν ἐσόπτρῳ τουτῳὶ τῷ λόγῳ δηλοποιῶ· τὰ συγγενῆ γὰρ δηλοῦσι τὰ συγγενῆ καὶ τὰ ὁμοούσια τῇ φύσει τὰ ὁμοούσια. Πόρρω πότερον καί f. 48v γε ὁ λόγος τῶν αὐτοῦ κατορθωμάτων καθεστηκὼς ὁ ἐμὸς ἐκ|θειάζει καὶ μᾶλλον ἢ ἐγκωμιάζειν ἐπιχειρεῖ· τὸ γὰρ ἀδύνατον ἀληθείᾳ οὐ συμφυές, τὰ δὲ τῆς ἀληθείας ἀπροσφυῆ φύσει συνίστασθαι ἀδύνατον. Ἀδυνάτως γοῦν καὶ ἀπροσφυῶς καὶ ὁ ἐμὸς λόγος ὢν πρὸς τὴν αὐτοῦ μεγαλόνοιαν οὐκ ἐγκωμιάζει ἀλλὰ μᾶλλον θαυμάζει τὰ κατ' αὐτόν. Ἐρῶ δέ τι καὶ ἕτερον· οὐδεὶς ἐξ ἑτέρου ἐγκωμιάζεται, ὥσπερ οὐδέ τις ἁμαρτάνει τινί· ὁ γὰρ ἐγκωμιαζόμενος καὶ ἐγκωμιάζων πρὸς ἓν ἀντιστρέφουσιν, οἷον ἀρίστως Κυναίγειρος ἔπραξε καὶ ἀρίστως περὶ αὐτοῦ Πολέμων λογογραφεῖ· ἀρίστως ἄρα οἴκοθεν ἐπαινεῖται Κυναίγειρος. Οὐδεὶς γὰρ ἐξ ἄλλου ἔχει τι ἀγαθὸν ἢ οἰκειακὸν καὶ πρότερον ἐκ τῆς ἄνω δυνάμεως, ἐξ ἧς οὐσιώθη καὶ διαμένει τὸ πᾶν καί γε τὸ μὲν ὂν λογικὸν f. 49r τὸ δὲ ὡσαύτως δοῦλον τοῦ | λογικοῦ. Ἐκεῖθεν αὖθις σοφίζονται καὶ σοφοὶ καὶ συνετίζονται βασιλεῖς καὶ τύραννοι σωφρονοῦσι πρὸς τὰ ἀλόγιστα. Χαλιναγωγεῖ γὰρ ὁ λόγος πάντας καὶ τῶν δεόντων εἰσάγει τὰ συγγενῆ. Τί γοῦν εἴπω ἄρτι κἀγώ· χαλιναγωγήσει κἀμὲ νῦν καὶ πρὸς τὴν ἀρχὴν ἐπανάξει με τοῦ σκοποῦ, καί, εἰς ὅπερ ἠρξάμην λέγειν, σοφῶς συνενώσει με ἢ ἀπολελυμένον ἰδὼν καταλείψει με καὶ ἄλλα ἀντ' ἄλλων λέγειν ἐάσει με; Οὐκ ἔστι τοῦτο τοῦ λόγου ἀλλὰ μᾶλλον παιδαγωγήσει με καὶ πρὸς τὴν τοῦ ἐμοῦ διδασκάλου ἐγκωμιαστικὴν ὑπόθεσιν ἤδη τρέψει με. Πότερον οὖν, ἀληθῶς περὶ τούτου εἰρήσομαι καὶ ὃ μηδὲν ἔχει λαβεῖν, ὥστε ἀνὴρ φιλοσκώμμων ἐκεῖνο μὲν πειράσεται f. 49v λαβεῖν, ὅπως αὐτὸν σκώψῃ, ἐμοῦ δὲ καταγνώσεται, ὅ|τι χαριεντιζόμενος τῷ διδασκάλῳ ἀπρεπῶς γράφω τὰ μὴ ὀρθά. Ἔχουσι γὰρ οἱ κακοὶ τὴν σφῶν κακίαν τροφήν· ἀπερρίφθω γοῦν διὰ τοῦτο εἴ τί ἐστιν ὑπερβολικὸν καὶ οὐ κατ' αὔξησιν λέξω τὰ ἅπερ ἤδη καὶ λέξω ἀλλὰ κατ' αὐτὴν ἀλήθειαν.

---

104 II Pe. 1,19 105 - 106 Ps. 64,10 110 cf. I Co. 13,12 110 - 111 cf. Arist. Pr. 896b,11 117 - 119 Polem. Cyn. 45 - 46 120 - 121 cf. Lu. 24,49

---

107 τοσαύτη ζήτησις S 107 - 108 καὶ τίς ἡ βραδυτὴς τῶν λόγων μου om. B 115 οὐκ om. S 119 πολαίμων AB πολοείμων C 126 εἰς om. S 130 πειράσηται codd. 131 λαβεῖν e λαβὴν scriba correxit A λαβὴν C 132 γνώμην post ὀρθὰ in marg. seclusit C

Πέντε τινὰς νέους ὁ ἐμὸς δεσπότης καὶ βασιλεὺς εἰς τὴν τῶν γραμμάτων προελόμενος μάθησιν, ἐκρεύσασαν ταύτην πρότερον ἀναλωθείσης τῆς Κωνσταντίνου παρὰ τῶν Ἰταλῶν, τῇ παιδείᾳ αὐτοὺς δέδωκεν, ὥσπερ πέντε αἰσθήσεις, δι' ὧν φωτίσαι τὸ σῶμα ἐθάρρει τοῦ λόγου ἐσβεσμένου καθεστηκότος. Εἷς ἐκ τούτων ὁ ἐμός ἐστιν Ἀκροπολίτης ὁ νῦν ὑμνῶν καὶ ὑμνούμενος, ὁ λέγων καὶ ἐν τῷ λέγειν ἑτέρων τινὰ κατορθώματα ὑπερηρμένον πάντων f. 50r δεικνύων αὐτὸν καὶ ὑπερ|νικῶν ὄντως ὅ,τι ἐν λόγῳ τοὺς λέγοντας· καὶ ἐκεῖνοι μὲν οὖν σὺν τούτῳ ἐδόθησαν εἰς διατριβὴν ἀγαθὴν καὶ ἔργον αἴσιον καὶ θεάρεστον, ὁμοῦ δὲ πάντες εἰς τὸν σκοπὸν ὁμοῦ καὶ ἅπαντες ἠγωνίζοντο.

Κοινὰ τὰ ἆθλα κατ' Ἰσοκράτην, ἴση εἰς πάντας τῆς παιδείας ἡ ῥίζα ἦν ἀλλ' ἴσοι καὶ οἱ καρποί· δυνάμει μὲν οἱ καρποὶ ἡ ῥίζα δὲ ὡς ὑπάρχουσα ἠγωνίζοντο ἄμφω. Ὑπὲρ γῆν ὁ ἥλιος ἔλαμπε καὶ συνέλαμπε σὺν αὐτῷ ὁ πρὸς λόγους ἐμὸς ποδηγός· νύκτωρ μὲν συνῳκίζετο ἀναγνώσει τὸν νοῦν, ἐν ἡμέρᾳ δὲ εἶχε τὴν εὐφυΐαν ἄριστον σύμμαχον, ὅπλον ἀμφίστομον δι' οὗ διεῖλεν ἀεὶ τὸ κρεῖττον ἀπὸ τοῦ χείρονος καὶ προσελάμβανε τὸ καλὸν καὶ τὸ ἀντίθετον ἀπεδίωκεν. Οὕτως γοῦν, ἀρίστως ἐν γράμμασι διελθὼν καὶ τὴν σύμπασαν f. 50v γνῶσιν | τούτων ὡς ἐρωτιῶν τὴν καλὴν κἀγαθὴν συλλαβών, ἐκολλήθη μου τῇ ψυχῇ λογικῶς τε καὶ πρακτικῶς τοὺς τούτου συναγωνιστὰς ἐντελεῖς εἰς φιλοσοφίαν ἀφείς. Εἴτε γοῦν Θεὸς τοῦτο ἐκέλευσεν εἴτε τύχης φορὰ λελέχθω ἐποίησεν, ἀμφιβάλλει μου ἡ διὰ γλώττης φωνή, πιστοῖ μοι δὲ ὅτι Θεὸς ἡ διάνοια. Ταῖς γὰρ μεγίσταις ὁρμαῖς τῶν διοικήσεων Θεὸς ἀεὶ συνεισέρχεται· συνεισῆλθε γοῦν Θεὸς εἰς ἡμᾶς, ἐπειδὴ δύο ὑπήρχομεν. Ὅπου γάρ εἰσι δύο ἢ τρεῖς ἀντὶ τοῦ καὶ τρεῖς συνηγμένοι, αὐτός φησι δι' ἐμέ, ἐκεῖ εἰμι ἀρχὴ καὶ μέση τε καὶ τελείωσις. Ὑπῆρχεν οὖν διὰ τὴν φυσικὴν ἀγαθωσύνην εἰς ἡμᾶς ὁ Θεός.

Καιρὸς προέβη καὶ ὁ διδάσκαλος μὲν ἐδίδασκεν, ἐγὼ δὲ ἠκροώμην τῶν λόγων αὐτοῦ φωνῆς, ὥσπερ θεοῦ. Ἐπεὶ δὲ λόγος ἐστὶ τὸ κάλλιστον χρῆμα,

---

144 - 145 Isoc. 15,295 155 cf. De. 28,47 156 - 157 cf. Mat. 18,20

---

142 οὖν supra lineam A 158 ἀγαθοσύνην C

---

135 - 139. *Πέντε τινὰς νέους... Ἀκροπολίτης:* Βλ. τὰ μεταγενεστέρως λεχθέντα ὑπὸ τοῦ Ν. Βλεμμίδου, Διήγησις μερική, 29,8-11: *«Ἀλλ' ὁ κρατῶν διὰ τὸ τὸν λόγον ἠτονηκέναι πέντε φοιτητὰς εἰς τὴν λογικὴν εἰσδέκτους ἡμῖν ἐποιήσατο, βίᾳ μετὰ πειθοῦς ἢ πειθοῖ μετὰ βίας χρησάμενος. Ἐδίδου δὲ καὶ σῖτον, ἐδίδου καὶ χρυσίον, ἐτήσια καὶ ἄμφω».* Πρβλ. προσέτι, Γ. Ἀκροπολίτην, I. 49,8.

160 - 161. *Καιρὸς προέβη... ὥσπερ θεοῦ:* Ἀναφορὰ εἰς τὸ μετὰ τὸ 1246 χρονικὸν διάστημα καθ' ὃ ὁ Γεώργιος Ἀκροπολίτης, ἀντικαταστήσας τὸν Νικηφόρον Βλεμμίδην, ἀνέλαβε τὴν παιδείαν τοῦ Θεοδώρου Λασκάρεως. Γ. Ἀκροπολίτης, I, 131,5 κ.ἑξ.

f. 51r ᾧ διαφέρει τὸ λογικὸν καὶ τὸ ἄλογον, | ἐπόθουν αὐτὸν καὶ ποθῶν ἐπεθύμουν
καὶ ἐδιδασκόμην τοῦτον ἐξ αὐτοῦ καθαιρόμενος. Καὶ πᾶσαν οὖν αὐτὸς ἐμὲ
φιλοσοφίαν ἐδίδαξεν, ἐπειδὴ ἄλλος αὐτὸς ὡς φίλος ὑπῆρχεν ἐμός. Ἐγὼ δὲ
οἷα σκληρὸς ὢν ἐπόθουν μὲν ἀλλ' οὐ κατελάμβανον καὶ ἔπασχον τοῦ τῆς Πη-
νελόπης ἱστοῦ τὸ ἀτελὲς πάθημα. Καυχᾶσθαι γὰρ οὐ συμφέρει μοι· τότε γάρ,
εἴπερ καὶ λόγους, ἦν ἀγαθόν, καινοφανεῖς εἴρηκα, ὅτε αὐτοὺς καὶ κατέλαβον.
Ἐπεὶ δὲ ἥμαρτον τοῦ σκοποῦ καὶ τοὺς λόγους μὲν οὐ κατέλαβον πονηρᾷ
δὲ γῇ ἐφάνην, ὅτι τὴν διδαχὴν ὡς ἀγαθὴ οὐκ ἐνεκολπωσάμην, ἐν τίνι νῦν καὶ
καυχήσομαι ἢ κατὰ τὸν μέγαν Παῦλον, ἐν ταῖς ἀσθενείαις μου; Ὑπήρχομεν
οὖν ἄμφω, ἐν κόποις καὶ πόνοις, ἐν ἐρημίαις πολλάκις οὐ τοπικαῖς τε καὶ ταῖς
f. 51v τῆς γῆς, ἀλλὰ φόβου καὶ ἐρημίας | ἐν στενοχωρίᾳ πολλάκις, κἂν πλατὺς ἡμῖν
ὁ λόγος ἐλέγετο, ἐν ἀγρυπνίαις συχνάκις μαινομένων τῶν ἀλόγων ἐν τούτῳ,
ὅτι λόγος πλατύνεται. Στερρὸς γὰρ ἦν ὁ διδάσκαλος, ἁπαλὸς τῇ φύσει ὁ φοι-
τητὴς καὶ ἐσφράγιζεν εὐτυπώτως εἰς αὐτὸν τοὺς λόγους αὐτός.

Διήλθομεν οὖν οὐκ ἐν ἀκαριαίῳ καιρῷ τὰ μαθήματα ἀλλὰ χρόνῳ πολλῷ
καὶ κόπῳ καὶ ὁ περὶ λόγους ἡμῖν ὑπῆρχε τροφὴ σκοπός. Ἐπεὶ δὲ ῥᾷστον
τὸ ἔργον ἐγένετο καὶ ἐγὼ μὲν προέβην εἰς προκοπήν, καὶ πέτραν γὰρ κοιλαίνει
ῥανίς, αὐτὸς δὲ σύμμαχον εὗρεν ἔχειν τὸν φοιτητήν, πάντα ἕως δεῦρο τὰ ἡμέ-
τερα πρὸς τοὺς ἅπαντας γεγόνασιν ἀπροσμάχητα.

Τολμῶ τι λέγειν καὶ ἀποφαντικόν· τίς ἡμῖν ἀντιστήσεται, τίς νομίσει
f. 52r νικῆσαι, τίς λό|γον ἐρεῖ καθ' ἡμῶν; Στρατηγεῖ γὰρ αὐτός, ἕπομαι δὲ ἐγὼ καὶ
ἡ νίκη οἶδ' ὅτι ὡς ὑπερεκτανθήσεται. Ἄριστος γὰρ ὑπάρχει κατὰ φύσιν λόγου
καὶ ἀπροσμάχητος, ἀνθηρὰ μὲν ἐκρέων θαμὰ τὰ λόγια, μέλισσαν δὲ ἐκμιμού-
μενος, ἄνθη τε πρότερον συλλεξάμενος ὡραῖα, μέλιτος γλυκασμὸν κατασκευά-

---

165 - 166 Od. 2,104 - 105   170 - 172 II Co. 12,4-10   185 - 186 cf. Ps. 118,103

---

163 *τοῦτον* supra lineam A om. CS   164 *σοφίαν* S   173 *συχνάκις* ACS : *πολλάκις* B   175 *ἐντυπώτως* AC   185 *πρῶτον* C

ὡς καὶ ΙΙ, VII - VIII τὰ ὑπὸ τοῦ Heisenberg γραφόμενα· προσέτι Ν. Βλεμμίδης, Διήγησις μερική, 39 κ.ἑξ., τέλος δὲ τὰ ἐπίσης ὑπὸ τοῦ Heisenberg ἀναφερόμενα εἰς τὰ προλεγόμενα αὐτῆς τῆς ἐκδόσεως σ. XXI.

176 - 177. *Διήλθομεν οὖν... τροφὴ σκοπός* : Ἕτερος ὑπαινιγμὸς εἰς τὴν διδασκαλίαν τοῦ Θεοδώρου ὑπὸ τοῦ Γεωργίου Ἀκροπολίτου· πρβλ. Γ. Ἀκροπολίτην, I, 131,7-8 :

178 - 179. *καὶ πέτραν γὰρ κοιλαίνει ῥανίς* : Paroemiographi graeci (Leutsch - Schneidewin) II, 632, 19.

185 - 186. *ἄνθη τε πρότερον... φοιτητάς* : Βλ. τὸν ἔμμετρον πρόλογον τοῦ Γ. Ἀκροπολίτου, II, 9,60-61 : *«Μὴ φράσεως ἥδυσμά τι παραδράμῃς· | Γενήσεται γὰρ ὡς γλυκάζον σοι μέλι».*

ζει ἐξ οὗ ποτίζει τοὺς φοιτητάς, τοὺς δ' ἀντιθέτους τιτρώσκει κέντρῳ λόγων
αὐτοῦ. Εὐβουλία ὑπάρχει πολλὴ παρ' αὐτῷ καὶ πλῆθος εὐφυΐας καὶ ἀγχινοίας.
Ξενοφῶν γάρ, εἴπερ εἶδε τοῦτον, ἐθαύμασε, καὶ ἐπῄνεσε τὴν φρόνησιν Νέστωρ
ὁ γηραιός. Ἐπειδὴ οὐκ ἐν χρόνῳ καὶ Σολομὼν διαγράφει τὸ γῆρας, ἀλλὰ φρο-
νήσει τὸ γῆρας ὁρίζεται, πραότης αὖθις καταστέφει αὐτὸν καὶ σύνεσις σὺν
f. 52v τούτῳ | κοιτάζεται. Ποῦ τοίνυν εἰσὶν οἱ νῦν σοφοὶ καὶ ἀσύνετοι; Ἐλθόντες
ἄρτι ἐνταῦθα ἰδέτωσαν σοφόν τε καὶ σώφρονα καὶ ταῖς ὅλαις ἀρεταῖς περιδέ-
ξιον· συνέδραμε καὶ γὰρ ἡ μάθησις τῇ φρονήσει καὶ ἡ φρόνησις τῇ νοήσει καὶ
ταύταις ἡ εὐφυΐα καὶ παντοῖον αὐτὸν ἐποίησαν. Πότερον οὖν, ἀνοίγων οὗτος
τὸ στόμα καὶ λόγους λέγων τοὺς εὐπρεπεῖς καὶ χελιδόνος φωνῶν εὐστροφώ-
τερα καὶ ἀηδόνος μελουργῶν εὐσημότερα καὶ περιστερᾶς ψαλμικῆς, ἧς τὰ
μετάφρενα χρυσαυγίζουσι, πράττων διὰ λόγου ἀκεραιότερα οὐκ ἂν ἑλκύσῃ
πᾶσαν εἰς τὸν πόθον αὐτοῦ ψυχήν; Ναί, ναί, πᾶσαν οἶδα καλῶς ἑλκύσει
καὶ λίαν ὑπερελκύσει· ἑλκύσω γοῦν καὶ ἐγὼ τὸν ἐμὸν λόγον διὰ τοῦτο ἐκ τοῦ
f. 53r ῥητορεύειν εἰς ἀπόδοσιν τοῦ σκοποῦ καὶ | στέρξω εἶναι εἰς τὴν ἀγάπην αὐτοῦ
ἐν πολλῇ τῇ χαρᾷ. Ἡγοῦμαι γὰρ δίκαιον μένειν εἰς ταύτην, ὥσπερ εἰς στε-
ρέμνιον καύχημα.

Ἐπειδὴ καὶ χρόνος καὶ λόγος καὶ ἀρετὴ καὶ φιλία ἡμᾶς συνήρμοσε, ταῦτα
νῦν σοι φέρει, ὦ μεγάθυμε ἄνερ, μαθητής, ὃν ἐπῄνεσας· οὐκ ἐξ ἐκείνου δέ εἰσι
ταῦτα ἀλλὰ μᾶλλον ἐκ σοῦ καὶ δηλοποιεῖ σοι διὰ τῶν λόγων τούτων τὴν ἔνδον
διάθεσιν. Τεκμαίρεται γάρ τις τὰ ἀφανῆ ἐκ τῶν φανερῶν καὶ γινώσκει τὰ μὴ
ὁρώμενα ἐκ τῶν ὁρατῶν καὶ τοὺς διαλογισμοὺς τῆς καρδίας ἐκ τῶν λόγων τοῦ
ταύτην ἔχοντος ἐκμανθάνει καὶ γινώσκει διὰ τῶν ἐγγυτάτω τὰ πόρρωθεν.
Ἔστι γὰρ ἔστι κατὰ δεύτερον λόγον νοεῖν τινα τὰ ἀφανῆ ὀργανικαῖς καὶ
f. 53v μαθηματικαῖς ἀποδείξεσι, καθὼς ἐδίδαξας, καθὼς ἡμᾶς διηρ|μήνευσας, ἣν
χάριν οὐδέποτ' ἂν σοι ἀποφλήσωμεν. Νυνὶ δὲ προσέθηκας καὶ ἑτέραν χάριν,
ἐγκώμια καὶ πανηγύρεων ἀφορμάς, ὁ δοὺς τὰ πολλὰ καὶ νῦν διὰ τοῦ ἐγκω-
μίου ὑπεραγάσας ἡμᾶς. Ἡμεῖς δ' ἀντιστρέφομεν ἀντὶ τῶν πολλῶν τὸ εὐτελὲς
τοῦτο λόγιον καὶ λύομεν τῇ λύσει αὐτοῦ πάντα, ὅσα πρὶν συνεδέθησαν, καθὼς

---

189 - 190 Sa. 4,8-9   195 - 196 Is. 38,14

---

186 *φωτίζει* B   *τῶν* ante *λόγων* add. S   194 *γὰρ* ante *καὶ* add. S   196 *ψαλτικῆς* C   197 *λόγον* C   *ἀκεραιότητα* S   204 *φέρω* S   *ὢν* B   205 *ἔνδοθεν* S

---

210. *μαθηματικαῖς ἀποδείξεσι* : Ὁ Γεώργιος Ἀκροπολίτης ἐδίδασκε, πλὴν τῆς φιλοσοφίας, καὶ μαθηματικὰ ὡς βεβαιοῖ ὁ Γρ. ὁ Κύπριος, Αὐτοβιογραφία, 185,12-17 : *«καὶ οἷ πρόθυμον ἑαυτὸν τοῖς βουλομένοις ἀκροᾶσθαι καθίζει διδάσκαλον ἐξηγητὴν μὲν τῶν λαβυρίνθων τοῦ Ἀριστοτέλους... ἐξηγητὴν δὲ καὶ τῶν Εὐκλείδου καὶ Νικομάχου, ὅσα τεθεωρήκασιν οὗτοι, ὁ μὲν γεωμέτρας, Νικόμαχος δὲ ἀριθμητικοὺς ἐκδιδάσκοντες».*

ὑπεσχέθημεν, ἀνυποκρίτως καὶ οὐκ ἐν ἄκροις χείλεσιν ἀλλ' ἀληθῶς τε ὁμοῦ καὶ πιστῶς. Τοῖς πρόσθεν δὲ ἡ συντήρησις ἀγαθὴ οὐχ ὅτι δὲ ὅτι συντηρεῖ εἰς ἀγάπην καὶ φιλίας ἀξίωμα· ἀλλ' ἡ τῶν ἀπευκταίων συντήρησις τοῦτο γὰρ καὶ συντήρησις, ἣ καὶ κατὰ φύσιν φυλάττοι χάριτι τοῦ Χριστοῦ τοὺς ἐν ἀληθείᾳ συντηρουμένους καὶ ἐν σκέπῃ τῶν πτερύγων αὐτοῦ.

ΑΘΑΝΑΣΙΟΣ Φ. ΜΑΡΚΟΠΟΥΛΟΣ

218 - 219 Ps. 16,8

216 *συντηρεῖν* codd.

ΣΤΑΡΑΤΟΡΟΣ = [ΠΡΩΤΟΣ]ΤΡΑΤΩΡ, OR STRATOR :
A MILITARY INSTITUTION IN XVth CENTURY CYPRUS

§ 1. The term *σταράτορος* occurs in an inscription engraved on a tombstone that was found on 10/II/1910 in the mosque of Misserikos, Nicosia and was published thrice, first by Peristianes, then by Jeffery and lastly by Indianos. Here is Indianos' reading, in which several misreadings of Jeffery have been corrected :

† ΕΚΟΪΜΗΘΗ Ο ΔΟΥΛΟΣ ΤΟΥ ΘΥ̅ Ο ΚΥΡΗΣ. ΙΩΣΗΦ Ο ΒΙΖΑΣ. Ο ΣΤΑΡΑΤΟΡΟΣ. ΚΑΙ ΜΑΣΤΟΡΟΣ. ΤΗΣ ΠΑΝΤΕΡΑΣ ΤΟΥ ΡΪΓΟΣ ΙΕΡΟΣΟΛΥΜΩΝ. ΚΑΙ ΚΥΠΡΟΥ. ΚΑΙ ΑΡΜΕΝΙΑΣ. ΤΟΥ Χ̅Υ̅ α̅υ̅β [1].

§ 2. Here is an extract from Peristianes' commentary :

«Ἡ πλὰξ φέρει καλλιτεχνικώτατα ἐγγεγλυμμένην τὴν τοῦ νεκροῦ εἰκόνα ἐν τῇ ἐπισήμῳ αὐτοῦ στρατιωτικῇ μεσαιωνικῇ στολῇ μετὰ περικεφαλαίας καὶ λόγχης. Ἐκ τῆς ἐπιγραφῆς ταύτης μανθάνομεν ὅτι ὁ Κύριος Ἰωσὴφ Βί[υ]ζας ὁ 'στουαράτορος = Στιούαρδ (Steward) *καὶ μάστορος = μαέστρος* (Master) *τῆς σημαίας τοῦ βασιλέως'..., ἀπεβίωσε καὶ ἐτάφη ἐν τῷ παρεκκλησίῳ τοῦ Βασιλικοῦ Ἀνακτόρου, ὅπερ ἔκειτο ἐγγύς, καὶ τοῦ Στρατῶνος ὅστις ἐγγύτατα αὐτῷ ἔκειτο, κατὰ τὸ 1402 μ.Χ.... Ὁ Βύζας ἦν προφανέστατα Ἕλλην ὅστις ἦν 'ἀνώτερος Ἀξιωματικὸς τοῦ Κράτους καὶ ὁ ἐπὶ τῶν βασιλικῶν φρουρῶν προϊστάμενος'. Αὕτη... ἡ ἐπιγραφὴ... προσεπικυροῖ τὰ ἡμέτερα ἐπιχειρήματα τὰ εἰς τὸ ναΐδριον τοῦτο ἀναφερόμενα ὡς ἀνῆκον τῷ παρακειμένῳ Βασιλικῷ Μεγάρῳ τοῦ Ἐρρίκου Β' καὶ τῷ Στρατῶνι τῶν βασιλικῶν φρουρῶν. [1] Ὅρα Κεφ. Λήδρας σελ. 701, 774 - 75, 787 - 89»* [2].

1. Anth. K. Indianos, Κυπριακὰ Μεσαιωνικὰ Μνημεῖα, Ἐπιγραφές, 1, in Κυπριακαὶ Σπουδαί, Vol. IV, 1940 (Nicosia 1942), p. 28; cf. I. K. Peristianes, Γενικὴ Ἱστορία τῆς Κύπρου, ἀπὸ τῶν Ἀρχαιοτάτων Χρόνων μέχρι τῆς Ἀγγλικῆς Κατοχῆς, Nicosia 1910, pp. 953 - 954, cf. pp. 787f.; G. Jeffery, Historic Monuments of Cyprus, Nicosia 1918, p. 44. For the church of «*Messire Henrique*» [or Messire Hugues] see also Athanassios Papayeoryiou, Ἡ Παλαιοχριστιανικὴ καὶ Βυζαντινὴ Ἀρχαιολογία καὶ Τέχνη ἐν Κύπρῳ κατὰ τὸ 1963, in Ἀπόστολος Βαρνάβας, Περ(ίοδος), Γ', τόμ. ΚΕ', Σεπτέμβριος - Ὀκτώβριος 1964, τεῦχος 9 - 10, p. 279 text and ftn. 35.

2. Peristianes, op. cit., pp. 953 - 954; cf. pp. 730 - 731.

§ 3. Indianos rejects Peristianes' etymology of *σταράτορος* and adds : *«Δὲν ξαίρω ἂν ἡ λέξη 'σταράτορος' δὲν πρέπει νὰ σχετισθεῖ μὲ τὸ μεσαιωνικὸ Κυπριακὸ 'σταντάριν'* (Med. Lat. Standarium) : *'Καὶ μοναῦτα ἐσηκῶσαν τὸ σταντάριν τοῦ 'Αγίου Γεωργίου καὶ ἀρχέψαν τὴν καταραμένην ἀρμάδαν'* (Dawkins, *Machairas* [sic], I, σ. 336, § 358). *Οἱ λέξεις 'παντέρα' καὶ 'σταντάριν' εἶναι ταὐτόσημες στὸ χρονικό : 'ἀρματῶσαν μίαν σατίαν καὶ ἐπέψαν την μὲ τοὺς δύο πραματευτάδες καὶ ἐβάλαν καὶ μίαν παντιέραν παννὶν σχαρλάτον μετὰ τῶν δύο κομμουνίων'. 'Ο Βίζας μπορροῦσε νἆταν σταντάτορος τῆς παντιέρας τοῦ Ρηγὸς καὶ 'μάστορος', δηλαδὴ ἀρχηγὸς τῆς βασιλικῆς φρουρᾶς.* (Dawkins, Machairas [sic] II, σ. 76, § 54) : *'To translate the Greek μαστόροι, masters, a word used in many senses, I have here used chief soldiers, relying on la Carne de Sainte Palaye, who says in his Dictionnaire historique s.v. 'maître', p. 237: titre particulier aux soldats à cheval, peut être à cause que dans l'ancienne gendarmerie chaque cavalier avait à sa suite quelque fantasin, archer ou autre, dont il était regardé comme le maître'. "Ετσι τώρα καὶ τὰ τόξα στὶς δύο ἀπάνω γωνίες [σὰν] νὰ ἐξηγοῦνται καλύτερα»* [1].

§ 4. Concerning *μάστορος* Indianos' explanation is generally correct. What should be added is this :

The derivation of the term is of course from the Latin '*magister*'. Throughout Roman and Byzantine Times «*magister*» was used in several combinations to denote either a military or an administrative officer or a high authority, a leader, a chief [2]. With such a generic meaning it could, especially in later times, be attached to any higher office as a title or dignity, not only in Byzantine State hierarchy [1], from which it disappeared as a court dignity in the beginning of the XIIth century [2], but also in that of the Latin States both in Europe and in the Levant [3]. A parallel to the old *magistri militum*,

1. Indianos, op. cit., p. 29; cf. p. 28.

2. See E. A. Sophocles, Greek Lexicon of the Roman and Byzantine Periods from B.C. 146 to A.D. 1100, Volume II, New York (an undated reimpression), col. 726a - b, 735b; Du Cange, Glossarium ad Scriptores Mediae et Infimae Graecitatis, Lyons 1688, col. 843 - 846, s.v. *Μαγίστερ, Μαγίστρος, Μαγίστωρ, Μάστρος, Μάστρορας, Μάστορας, Πρωτομάστρος, μαΐστρομίλις, μαΐστωρ* etc.; [eiusdem], Glossarium Mediae et Infimae Latinitatis, Conditum a Carolo Du Fresne Domino Du Cange, Auctum a Monachis Ordinis S. Benedicti..., Editio Nova..., A Léopold Favre, Tomus Quintus, Niort 1885, col. 168a - 173b: Magister; P. Demetrakos, Μέγα Λεξικὸν ὅλης τῆς 'Ελληνικῆς Γλώσσης, Δημοτική, Καθαρεύουσα, Μεσαιωνική, Μεταγενεστέρα, 'Αρχαία, Vol. V, Athens 1964, col. 4426a; The Classical Dictionary, Oxford 1961, col. 530a - b, 531a; A Latin Dictionary, founded on Andrew's Edition of Freund's Latin Dictionary, revised, enlarged and in Great Part Rewritten by Charlton T. Lewis, Ph.D., and Charles Short, LL.D., Oxford 1962, col. 1097a - c. For further information regarding the semantic development and various usages of *magister* see George Ostrogorsky, History of the Byzantine State, Translated by Joan Hussey, Oxford 1956, pp. 34, 39 - 40, 50, 58, 89, 220 - 221, 223 ftn. 2; A. H. M. Jones, The Later Roman Empire 284 - 602, A Social, Economic and Administrative Survey, Volumes I - III, Oxford 1964 passim, 85 references, see Vol. III, Index, p. 432 s.v.; Johannes Karayannopoulos, Das Finanzwesen des frühbyzantinischen Staates, München 1958, passim, espec. pp. 60, 61, 76 ftn. 26, 101 text and ftn. 83, 174, 201; eiusdem, Die Entstehung des byzantinischen Themenordnung, in «Byzantinisches Archiv, Heft 10», München 1959, pp. 8[1], 7[3], 19, 29[6], 43, 47, 48, 49, 50, 67[7], 68; Hélène Ahrweiler, Byzance et la Mer. La Marine de Guerre. La Politique et les Institutions Maritimes de Byzance aux VII[e] - XV[e] siècles, Bibliothèque Byzantine, Études, 5, Paris 1966, pp. 204 text and ftn. 2, 424, 441, 442; Louis Bréhier, Les Institutions de l'Empire Byzantin, in «Le Monde Byzantin, II», (L'Évolution de l'Humanité, 32 bis), Paris 1949, pp. 123, 133, 136, 138, 297.

1. Bréhier, op. cit., loc. cit.; Du Cange, Both Glossaries, cit.; Rodolphe Guilland, Études sur l'Histoire Administrative de Byzance. Le Domestique des Scholes, in R.É.B. VIII, 1950 [Paris 1951], passim; see Index des Titres, p. 56 s.v. *Magistros*; eiusdem, Études sur l'Histoire Administrative de l'Empire Byzantin, Proconsul, *ἀνθύπατος* in R.É.B. XV, 1957, passim; see Index, II, Index des Fonctions et Dignités, p. 37, s.v. *Magistros*.

2. Bréhier, op. cit., p. 138.

